Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: vhc-aj

Ἀέτιος ὁ Ἀμιδηνός · Aëtius of Amida

# Medical Book VI

Ἰατρικὸν Βιβλίον Ϛʹ

**Period:** Ὀψιμαρχαΐα Late Antique
**Dialect:** Κοινὴ τεχνική Technical Koine
**Domain:** Ἰατρική Medicine
**Format:** Πραγματεία Treatise

ΑΕΤΙΟΥ ΑΜΙΔΗΝΟΥ ΒΙΒΛΙΟΝ Σ Τάδε ἔνεστιν ἐν τῷ ϛ λόγῳ· [Start of Table] α Περὶ ὑδροκεφάλων Λεωνίδου β Περὶ φρενίτιδος ἐκ τῶν Ποσειδωνίου γ Περὶ ληθάργου Ἀρχιγένους καὶ Ποσειδωνίου δ Περὶ κατόχου καὶ καταλήψεως ε Περὶ κάρου Ποσειδωνίου ϛ Περὶ κώματος Ποσειδωνίου ζ Περὶ σκοτωματικῶν ἐκ τῶν Ἀρχιγένους καὶ Ποσειδωνίου η Περὶ μανίας ἐκ τῶν Ἀρχιγένους καὶ Ποσειδωνίου θ Περὶ μελαγχολίας ἐκ τῶν Γαληνοῦ καὶ Ῥούφου καὶ Ποσειδωνίου ι Θεραπεία μελαγχολικῶν ια Περὶ λυκανθρωπίας ιβ Περὶ ἐφιάλτου Ποσειδωνίου ιγ Περὶ ἐπιληψίας ιδ Ὅσα ἐλέγχει τοὺς ἐπιληπτικούς ιε Διεγερτικὰ τῶν καταπιπτόντων ἐπιληπτικῶν ις Βοηθήματα ἐπιληπτικῶν ιζ Περὶ τῶν ἀπὸ στομάχου πρωτοπαθοῦντος ἐπιληπτικῷ τρόπῳ παροξυνομένων ιη Περὶ τῶν ἀπὸ μορίου τινὸς ἐχόντων τὴν τῆς ἐπιληψίας αἰτίαν ιθ Θεραπεία γερόντων καὶ βρεφῶν ἁλισκομένων τῷ τῆς ἐπιληψίας πάθει κ Θεραπεία τῶν ἄγαν γεγηρακότων ἐπιληπτικευομένων κα Θεραπεία νεογενῶν παιδίων ἐπιληπτικῶς σπωμένων κβ Περὶ μωρώσεως καὶ λήρου κγ Περὶ μνήμης ἀπολωλυίας ἐκ τῶν Ῥούφου καὶ Γαληνοῦ κδ Περὶ λυσσοδήκτων ἤτοι ὑδροφόβων Γαληνοῦ καὶ Ῥούφου κε Περὶ φλεγμονῆς ἐγκεφάλου κϛ Περὶ ἐρυσιπέλατος ἐγκεφάλου κζ Περὶ ἀποπληξίας ἐκ τῶν Ἀρχιγένους κη Περὶ παραλύσεως ἐκ τῶν Ἀρχιγένους κθ Περὶ ὀφρύος ἢ βλεφάρων παραλυθέντων λ Περὶ κυνικοῦ σπασμοῦ λα Περὶ γλώσσης παραλυθείσης λβ Περὶ τῆς τοῦ φωνητικοῦ παρέσεως λγ Περὶ καταπόσεως παραλυθείσης λδ Περὶ κύστεως παρεθείσης λε Περὶ καυλοῦ παρεθέντος λϛ Περὶ ἀπευθυσμένου παρεθέντος λζ Σκέλους ἢ ἑτέρου τινὸς κώλου παρεθέντος ἐπιμέλεια λη Περὶ σπασμῶν ἢ τετάνων λθ Περὶ τετάνου ἐκ τῶν Ἀρχιγένους μ Ἐκ τῶν Γαληνοῦ διορισμοὶ περὶ κεφαλαλγίας μα Πρὸς κεφαλαλγίαν δι' ἔγκαυσιν ἢ θερμότητά τινα γιγνομένην μβ Περὶ τῆς ἐν πυρετοῖς κεφαλαλγίας μγ Πρὸς κεφαλαλγίαν διὰ μέθην μδ Ἐψυγμένης κεφαλῆς ἰάματα με Περὶ τῶν ἀπὸ στομάχου κεφαλαλγιῶν μϛ Ὅσα φύσει κεφαλαλγεῖ μζ Πρὸς κεφαλαλγίας διὰ πληγήν μη Περὶ κεφαλαίας Γαληνοῦ μθ Περὶ ἡμικρανίας ἐκ τῶν Γαληνοῦ ν Κοινὴ θεραπεία κεφαλαίας καὶ ἡμικρανίας ἐκ τῶν Ἀρχιγένους να Ἐπιθέματα πρὸς κεφαλαλγίαν νβ Ἔρρινα κεφαλῆς καθαρτικά νγ Ἀποφλεγματισμοὶ καθαίροντες τὴν κεφαλήν νδ Σμήγματα καὶ πάσματα πυκνωτικὰ τῆς κεφαλῆς νε Περὶ ἀλωπεκίας νϛ Περὶ ῥεουσῶν τριχῶν νζ Πρὸς ὀφρῦς λειποτριχούσας νη Μελάσματα τριχῶν νθ Περὶ τοῦ πυρρὰς ποιῆσαι τρίχας ξ Λευκὰς ποιῆσαι τρίχας ξα Οὐλὰς

**ποιῆσαι τρίχας ξβ Περὶ τῶν φθειρόντων τὰς τρίχας ξγ Ἀφανιστικὰ τριχῶν ξδ Ψίλωθρα τριχῶν ξε Λεπτυντικὰ τριχῶν ξς Περὶ πιτυριάσεως ξζ Περὶ φθειριάσεως ξη Περὶ ἀχώρων καὶ τῶν λοιπῶν περὶ τὴν κεφαλὴν γιγνομένων αὐτομάτων ἐξανθημάτων ξθ Πρὸς τὰ ἐν τῇ κεφαλῇ ψωρώδη ο Πρὸς τὰ σμικρὰ καὶ πυκνὰ καὶ ἐρυθρὰ ἑλκύδρια ἐν τῇ κεφαλῇ θηλαῖς μασθῶν παραπλήσια οα Πρὸς τὰ ἐξέρυθρα ἐξανθήματα ἐν τῇ κεφαλῇ οβ Ἀναξηραντικὰ καὶ ἐπουλωτικὰ τῶν ἐν τῇ κεφαλῇ ἀχώρων ογ Σμήγματα πρὸς ἀχῶρας οδ Πρὸς τὰ ἐν ὠσὶ πάθη οε Πρὸς τὰς διὰ ψῦξιν ὀδύνας ος Πρὸς τὰς ἐξ ὕδατος φαρμακώδους ὀδύνας τοῦ πόρου τοῦ ὠτός οζ Πρὸς τὰς ἐν ὠσὶν ὀδύνας διὰ πάχος χυμῶν οη Πρὸς ῥύπου σκληρότητα οθ Περὶ τῶν ἐν ὠσὶν ἤχων π Πρὸς δυσηκοΐας καὶ κωφώσεις πα Πρὸς φλεγμονὰς ὤτων πβ Πρὸς τὰ χωρὶς ἑλκώσεως καθυγραινόμενα ὦτα πγ Πρὸς ἕλκη ἐν τῷ πόρῳ τοῦ ὠτός πδ Πρὸς φθορὰς καὶ δυσωδίας ὤτων πδʹ Πρὸς τὰ ἐν ὠσὶν ὑπερσαρκώματα πε Πρὸς σκώληκας ἐν ὠσίν πς Πρὸς τὰς ἐκ τῶν ὤτων αἱμορραγίας πζ Πρὸς ψηφῖδα ἐμπεσοῦσαν τῷ πόρῳ τοῦ ὠτός πη Πρὸς τὰ ἔξωθεν τοῦ πόρου τῶν ὤτων πάθη πθ Περὶ παρωτίδων ϟ Περὶ τῶν ἐν τῇ ῥινὶ παθῶν ϟα Ὀζαινῶν θεραπεία ϟβ Πολυπόδων θεραπεία ϟγ Πρὸς τὰ ἐν μυκτῆρσιν ἕλκη ϟδ Πρὸς τὰς ἐκ ῥινῶν αἱμορραγίας ϟε Πρὸς τὸ αἷμα ἀπὸ ῥινῶν κατασπάσαι ϟς Περὶ ἐμφράξεως μυκτήρων καὶ ὀσφρήσεως βεβλαμμένης ϟζ Περὶ πταρμικῶν ϟη Περὶ τοῦ πλεονάζοντας πταρμοὺς παῦσαι [End of Table]** **Ἀρχὴ τοῦ ἕκτου λόγου Περὶ ὑδροκεφάλων Λεωνίδου.**

1 (t) τὸ ὑδροκέφαλον πάθος προσαγορεύεται ἀπὸ τοῦ ἐν τῇ κεφαλῇ ὑδατώδους ὑγροῦ συλλεγομένου· κατὰ τὸ πλεῖστον μὲν οὖν τὸ ὑδατῶδες συλλέγεται, ἐνίοτε δὲ τρυγῶδες ἢ δίαιμον συνίσταται, ἀεὶ δὲ ἀργόν. γίγνεται δὲ τοῦτο ἢ ἐξ ἀδήλου ἢ ἐκ προδήλου αἰτίας· ἐξ ἀδήλου μὲν ἐκ τοῦ αὐτομάτου ἀραιουμένων τῶν τοπικῶν ἀγγείων καὶ τῆς ἐν αὐτοῖς ὑδατώδους οὐσίας τῆς συγκεκραμένης τῷ αἵματι παρωθουμένης καὶ εἰς ἕνα τόπον συνισταμένης· ἐκ δὲ τῆς τοιαύτης αἰτίας ὑδατῶδες συλλέγεται ὑγρόν. ἐκ προδήλου δὲ αἰτίας γίγνεται ἐκ πληγῆς ἢ θλάσματος ῥηγνυμένων τῶν τοπικῶν ἀγγείων καὶ τοῦ ἐν αὐτοῖς αἵματος παρεγχεομένου, ἔπειτα δὲ ἀργευομένου, εἰς λεπτὴν οὐσίαν τρυγώδη ἢ δίαιμον ἀναλυομένου· συνεχέστατα δὲ γίγνεται τὸ πάθος ἐκ τῆς τοιαύτης αἰτίας ἐπὶ νηπίων, ὅταν ἡ μαῖα ἀπείρως μαιουμένη σκληροτέρᾳ τῇ χειρὶ χρησαμένη κατὰ τὸ τοῦ ἐμβρύου κεφάλαιον θλάσῃ τινὰ σώματα. συνίσταται δὲ τὸ ὑγρὸν ἐπὶ τῶν ὑδροκεφάλων ἢ μεταξὺ τοῦ δέρματος καὶ τοῦ περικρανίου ὑμένος ἢ μυὸς τοῦ κροταφίτου ἢ ὑπὸ τὸν περικράνιον ὑμένα μεταξὺ αὐτοῦ καὶ τοῦ τῆς κεφαλῆς ὀστοῦ ἢ ὑπὸ τὸ κρανίον μεταξὺ τῆς μήνιγγος καὶ τοῦ ὀστέου. οἱ δὲ πρὸ ἡμῶν φασι καὶ μεταξὺ τῆς μήνιγγος καὶ αὐτοῦ τοῦ ἐγκεφάλου συνίστασθαι, ὅπερ ἐστὶν ὀλέθριον. ἀργοῦ μὲν οὖν ὑγροῦ συλλεγομένου κατὰ τὸ δέρμα ἔξωθεν μεταξὺ τοῦ περικρανίου καὶ τοῦ ὀστέου ὄγκος συνεδρεύει κατά τι μέρος τῆς κεφαλῆς, καθ' ὃν ἡ γεγονυῖα συλλογὴ ὁμόχρους ἀναλγὴς εὐαφής, εἴκοντος καὶ μεθισταμένου κατὰ τὴν τῶν δακτύλων ἐπαφήν. καὶ εἰ μὲν αὐτόματος γένηται, ἐξ ἀρχῆς ἀνώδυνος καὶ ὁμόχρους ἔσται ὁ τόπος, εἰ δὲ ἐκ πληγῆς ἢ θλάσματος, κατ' ἀρχὰς μὲν ἐνερευθὴς καὶ ἐπώδυνος γίνεται ὁ ὄγκος, ὕστερον δὲ ἀργευομένου τοῦ ὑγροῦ καὶ μεταβαλλομένου εἰς λεπτὴν οὐσίαν, τότε ὁ ὄγκος ὁμόχρους καὶ ἀνώδυνος γίνεται. τῆς δὲ συλλογῆς ὑπὸ κρανίον γεγενημένης μεταξὺ τοῦ ὀστέου καὶ τῆς μήνιγγος κατ' ἀρχὰς ὀλίγου ὄντος τοῦ ὑγροῦ ἡ κεφαλὴ βαρύνεται καὶ σκοτισμοὶ γίγνονται συνεχεῖς καὶ αἱ αἰσθήσεις ἀμβλύνονται, λέγω δὲ ὅρασις ἀκοὴ καὶ αἱ λοιπαί. ὅταν δὲ πλεονάσῃ τὸ ὑγρόν, αἱ ῥαφαὶ τῆς κεφαλῆς διὰ τὸ πλῆθος διίστανται ἀπ' ἀλλήλων καὶ διὰ τοῦτο ἡ κεφαλὴ μεγάλη γίγνεται καὶ πρόδηλος ὁ τόπος τῆς συλλογῆς· τῷ γὰρ δακτύλῳ ἐπειγομένῳ εἴκει τὸ ὑγρόν. χειρουργία· κοινῶς μὲν οὖν ἐπὶ τῆς ὑπὸ τὸ δέρμα συλλογῆς καὶ τῆς μεταξὺ τοῦ περικρανίου ὑμένος καὶ τοῦ ὀστέου ταῖς αὐταῖς ἐπιβολαῖς χρώμεθα πρὸς τὴν τοῦ ὑγροῦ ἔκκρισιν καὶ μικροῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὲν τοῦ ὄγκου ὄντος διαίρεσις μία μικρὰ κατὰ τῆς τοῦ ὄγκου κορυφῆς διδόσθω, μείζονος δὲ τοῦ ὄγκου γεγονότος δύο ἢ τρεῖς ἢ πλείους διαιρέσεις διδόσθωσαν κατ’ ἀναλογίαν τοῦ μεγέθους ἐν τοῖς καθ’ ὑπόρρυσιν τόποις· οὐ δεῖ δέ, ὡς ἐπὶ ἀποστημάτων, μετὰ τὴν χειρουργίαν λημνίσκους διεκβάλλειν, ἀλλ’ αὐτὰς μόνας τὰς διαιρέσεις τοῖς μοτοῖς διαστέλλειν· μετὰ γὰρ τὴν τοῦ ὑγροῦ ἔκκρισιν ῥᾳδίως ἐπὶ τούτων παρακολλᾶται τὰ σώματα· διὸ ἀρκούμεθα ἐπ’ αὐτῶν τῇ διαμοτώσει, μετὰ δὲ τὴν διαμότωσιν, ἐὰν μὲν ᾖ νήπιον τὸ κεχειρισμένον, διὰ τὸ βάρος τὴν ἐπίδεσιν παραιτούμεθα. ὠοβραχὲς δὲ ἔριον ἐπιτιθέσθω καὶ πιλαρίῳ σκεπάσθω τὸ κεφάλαιον. ἐπὶ δὲ τῶν ἰσχυροτέρων μοτοφυλάκιον ἔξωθεν ἐπιτιθέσθω καὶ ἐπίδεσις ἐκκρινέσθω. δυνατὸν δὲ ἀπὸ τῆς τρίτης συνεργεῖν τῇ παρακολλήσει διά τινος τῶν κολλητικῶν ἐμπλάστρων. τῆς δὲ συλλογῆς ὑπὸ τὸν κροταφίτην μῦν γενομένης, ἵνα μὴ τμηθῇ ὁ μῦς, ἐκδέξασθαι χρὴ ἕως πλεονάσει τὸ ὑγρόν, ἔπειτα ἐκ πλαγίων τοῦ μυὸς δοῦναι τὴν διαίρεσιν.

1 (50) ἐὰν δὲ συνέχηται τὸ ὑγρὸν ἐν τῷ βάθει ὑπὸ τὸν μῦν, δύο διαιρέσεις διδόσθωσαν ἐκ τῶν δύο πλαγίων τοῦ μυός, ἑκατέρωθεν αὐτοῦ μία, ἔπειτα ὑποδιαιρεῖν τὸ σῶμα διὰ τοῦ λαβιδίου τοῦ σμιλαρίου ἀσφαλῶς. μετὰ δὲ τὴν τοῦ παντὸς ὑγροῦ ἔκκρισιν θεραπεύειν, καθὼς προδεδήλωται. καὶ ἐπὶ δὲ τῶν ὑπὸ τὸ κρανίον ἀναμένειν δεῖ καὶ ὅταν πλεονάσῃ τὸ ὑγρὸν καὶ διαστῶσιν αἱ ῥαφαὶ καὶ φανερὸν γένηται τὸ ὑγρόν, διαιρεῖν τὸν κορυφούμενον τόπον καὶ τὰ ἀκόλουθα ποιεῖν. Περὶ φρενίτιδος ἐκ τῶν Ποσειδωνίου.

2 ἡ φρενῖτις φλεγμονή ἐστι τῶν περὶ τὸν ἐγκέφαλον μηνίγγων μετὰ πυρετοῦ ὀξέος παρακοπὴν καὶ παραφορὰν τῆς διανοίας ἐπιφέρουσα. σπανίως δὲ ἡ φρενῖτις ἐξ ἀρχῆς συνεισβάλλει τῷ πυρετῷ· τοῖς δὲ πλείστοις ἀπὸ τῆς δ ἄρχεται καὶ ε καὶ ς καὶ ἔτι ὀψιαίτερον αὐτῷ σχεδὸν τῷ κινδύνῳ συνάπτουσα, ὥστε ἤδη οἱ μὲν ἑβδομαῖοι, οἱ δὲ ἐναταῖοι ἤρξαντο παραφρονεῖν. διαφοραὶ δὲ τῆς φρενίτιδος πλείους μέν, αἱ δὲ κυριώταται τρεῖς· ἢ γὰρ τὸ φανταστικὸν μόνον εἰσὶ βεβλαμμένοι, σῴζεται δὲ αὐτοῖς τὸ λογιστικὸν καὶ ἡ μνήμη, ἢ τὸ λογιστικὸν μόνον ἠδίκηται, σῴζεται δὲ τὸ φανταστικὸν καὶ ἡ μνήμη, ἢ καὶ τοῦ φανταστικοῦ καὶ τοῦ λογιστικοῦ ἐστιν ἡ βλάβη, σῴζεται δὲ ἡ μνήμη. μνήμης δὲ ἀπολλυμένης ἐπὶ τῶν πυρεκτικῶν νοσημάτων συναπόλλυται ὡς ἐπίπαν καὶ τὸ λογιστικὸν καὶ τὸ φανταστικόν. τοῦ μὲν οὖν ἐμπροσθίου μέρους τοῦ ἐγκεφάλου βλαβέντος τὸ φανταστικὸν μόνον ἠδίκηται, τῆς δὲ μέσης κοιλίας τοῦ ἐγκεφάλου βλαβείσης παρατροπὴ γίγνεται τοῦ λογιστικοῦ, τοῦ δὲ κατὰ τὸ ἰνίον ὀπισθίου ἐγκεφάλου βλαβέντος ἀπόλλυται τὸ μνημονευτικόν, σὺν αὐτῷ δὲ ὡς ἐπίπαν καὶ τὰ ἕτερα δύο. ὅσοις μὲν οὖν βέβλαπται τὸ φανταστικόν, κρίνουσι μὲν ὀρθῶς, φαντάζονται δὲ ἀλλόκοτα· ὅσοις δὲ ἠδίκηται τὸ λογιστικὸν μόνον, φαντάζονται μὲν ὀρθῶς, κρίνουσι δὲ οὐκ ὀρθῶς· ὅσοις δὲ τὸ μνημονευτικὸν ἠδίκηται, οὐδενὸς τῶν πρόσθεν γεγενημένων μνημονεύουσιν ὀρθῶς, ἀλλ’ οὐδὲ φαντάζονται οὐδὲ κρίνουσιν ὀρθῶς ὡς ἐπίπαν. προσήκει τοίνυν τῷ μᾶλλον ἠδικημένῳ μέρει, μᾶλλον τὰ βοηθήματα προσάγειν, μὴ μέντοι μηδὲ τῶν ἄλλων ἀμελεῖν. περὶ μὲν οὖν τῆς ἀπολλυμένης μνήμης κατ’ ἰδίαν μετὰ βραχὺ ἐροῦμεν, νυνὶ δὲ ὅπως χρὴ τῶν φρενιτικῶν ἐπιμελεῖσθαι ῥητέον. κατακεκλίσθαι τοίνυν προσήκει τὸν νοσοῦντα ἐν οἴκῳ χειμῶνος μὲν ἀλεεινῷ, θέρους δὲ ψυχεινοτέρῳ, ἡσυχίαν δὲ ἄγειν κελεύειν καὶ τὸν νοσοῦντα μὲν αὐτὸν καὶ τοὺς ἐπὶ τῆς οἰκίας ἅπαντας καὶ τοὺς πλησίον· καὶ τοὺς μὲν πρὸς τὸ φῶς ἀγριαινομένους ἐν σκοτεινοτέρῳ οἴκῳ κατακλίνειν, τοὺς δὲ πρὸς τὴν αὐγὴν μᾶλλον σωφρονοῦντας ἐν φωτεινῷ οἴκῳ διαιτᾶν. εἰ μὲν οὖν ἡ φρενῖτις σὺν τῷ πυρετῷ ἐξ ἀρχῆς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἢ τῇ δευτέρᾳ ἢ μέχρι τῆς τετάρτης εἰσέβαλε καὶ μὴ ἐκ μεταπτώσεως ἑτέρου νοσήματος ἐπεγένετο οὔρων τε ὑφαίμων ὄντων καὶ τοῦ προσώπου ἐρυθροῦ καὶ ἡλικίας ἀκμαζούσης καὶ εὐεξίας τοῦ σώματος παρούσης καὶ πάντων ἅμα τῶν σημείων ὑπαγορευόντων αἵματος πλῆθος, φλεβοτομητέον ἀπ’ ἀγκῶνος. τέμνειν δὲ τὴν μέσην φλέβα καὶ κενοῦν πρὸς δύναμιν καὶ μὴ μέχρι λειποθυμίας, ἔλαττον μᾶλλον τοῦ δέοντος ἀφαιροῦντας διὰ τὴν ἐκ τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σφοδρᾶς κινήσεως γιγνομένης ἐπ’ αὐτῶν πλείστην διαφόρησιν καὶ τὸν κόπον. καὶ ἡ διαίρεσις δὲ σύμμετρος ἔστω, μή πως λάθρα ὁ κάμνων λύσῃ τὸν δεσμὸν τοῦ βραχίονος· κίνδυνος γὰρ ἐκ τῆς αἱμορραγίας παρέπεται. παραλειφθέντος δὲ διά τινα αἰτίαν τοῦ τῆς φλεβοτομίας βοηθήματος, κλυστῆρσι χρὴ κενοῦν τὴν γαστέρα διὰ χυλοῦ πιτύρων ἢ πτισσανῶν ἀφρονίτρου τε βραχέος καὶ μέλιτος ὀλίγου, τὴν δὲ κεφαλὴν ἐμβρέχειν ῥοδίνῳ μᾶλλον χλιαρῷ. φλεγμαινούσης γὰρ τῆς μήνιγγος, οὐκ ἀβλαβὲς τὸ ψυχρὸν οὐδὲ μὴν τὸ πάνυ θερμόν. τὸ μὲν γὰρ ψυχρὸν πυκνοῖ τοὺς πόρους καὶ οὐ συγχωρεῖ διαφορεῖσθαι τὰ ἐν τῇ κεφαλῇ περιττώματα· τὸ δὲ πάνυ θερμὸν διπλασιάζει τὴν πύρωσιν, ὥστε θέρους μὲν ἄκρως χλιαρὸν τὸ ῥόδινον προσφέρειν μετὰ βραχέος ὄξους· χειμῶνος δέ, μετρίως θερμόν. εὔθετον δὲ καὶ τὸ χαμαιμήλινον αὐτῷ μιγνύμενον ἐξ ἴσου ψυχροτέρου ὄντος τοῦ περιέχοντος· εἰ δὲ σφοδροτέρα εἴη ἡ παραφορά, προκενώσας, ὡς εἴρηται, τῇ φλεβοτομίᾳ ἢ κλυστῆρσι καὶ ἀφεψήσας ἐλαίῳ κωδίας καταιόνα τὴν κεφαλὴν καὶ τὸ πρόσωπον καὶ συνεχῶς δίδου προσκλύζεσθαι ὕδατι, ἀνεφεψημένων αὐτῷ κωδιῶν καὶ τὸ μέτωπον χρῖε ὑπνωτικῷ τινι τροχίσκῳ οἷον τῷ παγχρήστῳ ἢ τῷ διὰ σπερμάτων, καὶ ὀσφραίνειν δὲ συνεχῶς ὑπνοποιοῖς τοῖς προγεγραμμένοις ἐν τῷ πρὸ τούτου λόγῳ πρὸς τοὺς ἀγρυπνοῦντας· καὶ ὑπὸ τὸ προσκεφάλαιον κωδίας ὑποτιθέναι ἢ μανδραγόρου μῆλα.

2 (50) ἐπιταθέντων δὲ τῶν κακῶν, διδόναι καὶ τοῦ διὰ τῶν κωδιῶν ὑπνωτικοῦ φαρμάκου ὅσον κοχλιάριον, ἢ πλέον ἢ ἔλαττον πρὸς δύναμιν. δοτέον δὲ τοῦ διὰ μέλιτος ἐσκευασμένου, οὐ τοῦ διὰ τοῦ γλυκέος διὰ τὸ οἰνῶδες· ἐν παρακμῇ δὲ τοῦ παροξυσμοῦ δίδου τὸ φάρμακον. ἐν γὰρ τῇ ἀκμῇ εἰ δοθείη τὸ μὲν φάρμακον ἕλκει πρὸς ὕπνον, ὁ δὲ πυρετὸς διανίστησι καὶ μεριζόμενος ὁ κάμνων εἰς ἄμφω χαλεπώτερον φέρει τὸ γιγνόμενον· δοὺς δὲ τὸ φάρμακον ἡσυχίαν εἶναι κέλευε. βέλτιον δὲ τοῦ ῥοδομέλιτος προσπλέκειν τῷ διὰ κωδιῶν· κατακεραστικὸν γὰρ τῆς δριμύτητος ὑπάρχει καὶ τῆς κοιλίας ὑπαγωγόν· διὸ καὶ τῷ πινομένῳ ὕδατι ἐν τῇ τοῦ παροξυσμοῦ ἀκμῇ καλὸν ἐπιφέρειν τὸ ῥοδόμελι. φυλάττεσθαι δὲ χρὴ τὴν συνεχῆ χρῆσιν τῶν ναρκωτικῶν πάντων φαρμάκων, πομάτων τε καὶ καταντλημάτων καὶ ἐπιχρίστων. ῥᾳδίως γὰρ ἐπὶ τῶν ἀμέτρως ψυχομένων μετάπτωσις γίγνεται ἀπὸ φρενίτιδος εἰς λήθαργον, ὅτε καὶ ὀλέθριον γίγνεται τὸ νόσημα· ὅθεν ὅταν ἡ παραφορὰ ἐμβραδύνῃ, ἕρπυλλον ἢ σπονδύλιον ἐναφεψεῖν δεῖ τῷ καταιονουμένῳ τῇ κεφαλῇ ἐλαίῳ. διαπνευστικὰ γὰρ τῶν παχέων ἀτμῶν τυγχάνει. μένοντος δὲ τοῦ προσώπου καὶ μετὰ τὴν φλεβοτομίαν ἀσυμπτώτου καὶ ἐρυθροῦ σικύας κολλήσας τῷ ἰνίῳ χάρασσε ἀμυχαῖς μετρίως τὸ δέρμα καὶ κένωσον ὅσον λίτραν τοῦ αἵματος. τροφὴν δὲ δοτέον πτισσάνης χυλὸν ἢ ἄλικος ἢ ψίχας πλειστάκις πλυθείσας μετὰ ῥοδομέλιτος· πραϋνθέντος δὲ τοῦ πυρετοῦ διδόναι ὠὰ ῥοφητὰ καὶ θριδακίνας ἀπεζεσμένας καὶ ὅσα ὑγραίνει καὶ ψύχει μετρίως μετὰ τοῦ τρέφειν διὰ τὴν ἀσθενήσασαν δύναμιν. Περὶ ληθάργου κατὰ τῶν Ἀρχιγένους καὶ Ποσειδωνίου.

3 ληθάργου ἀρχαὶ δύο· οἷς μὲν γὰρ τὰ περὶ τὰς φρένας καὶ τὰ σπλάγχνα πρωτοπαθήσαντα εἰς συμπάθειαν ἄγει τὸν ἐγκέφαλον, οἷς δὲ τὰ περὶ τὸν ἐγκέφαλον κατάρχει καὶ οἷς μὲν εὐθέως ἐξ ἀρχῆς τὸ πάθος ἐπιπίπτει, οἷς δὲ ἐκ μεταπτώσεως τινὸς τῶν ὀξέων νοσημάτων. μάλιστα μὲν γὰρ ἀπὸ φρενίτιδος τοῖς σφοδρότερον διὰ τῶν ναρκωτικῶν φαρμάκων ψυχθεῖσιν ἡ μετάπτωσις εἰς τὸν λήθαργον γίγνεται, ἤδη δὲ πλειστάκις καὶ ἀπὸ τοῦ συνόχου πυρετοῦ ἡ μετάπτωσις εἰς τὸν λήθαργον γέγονε καὶ ἐξ ἑτέρων δὲ πλείστων νοσημάτων, ἐφ’ ὧν μάλιστα κενώσεις πλείους παρηκολούθησαν. ἐνίοτε δὲ καὶ ἐπὶ τῶν χρονίων πυρετῶν συμβαίνει κατὰ περίοδον βαπτίζεσθαι αὐτοὺς τῷ ὕπνῳ, οἷον πολλάκις γίνεται ἐπὶ ἀμφημερινῶν πυρετῶν καὶ ἡμιτριταίων, ἔστι δ’ ὅτε καὶ ἐπὶ τεταρταίων καὶ οἱ μὲν μετὰ σπασμοῦ καὶ συνολκῆς τῶν νεύρων καταφέρονται, οἱ δὲ δίχα σπασμοῦ καὶ οἱ μὲν ἀθρόως καταφέρονται, οἱ δὲ ἐκ προσαγωγῆς καὶ οἱ μὲν ἕνα τὸν βαπτισμὸν ὑπομένουσιν, ἐφ’ ᾧ τὰ ἔσχατα κινδυνεύουσιν, οἱ δὲ ἐν ταῖς περιόδοις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καταφέρονται καὶ πάλιν ἀνακαλοῦνται. σκοπεῖν μὲν οὖν χρὴ τὸ εἶδος τῆς καταφορᾶς· οἱ μὲν γὰρ κατὰ περίοδον τῷ ὕπνῳ βαπτιζόμενοι σομφότερον τὸν σφυγμὸν ἔχουσιν, οἱ δὲ ἀεὶ τὸ πάθος ἔχοντες σμικρότατον καὶ δυσκίνητον. οὗτοι δὲ καὶ διεγειρόμενοι ἀλλόκοτα φθέγγονται καὶ ἐπιλήσμονές εἰσιν· οἱ δὲ κατὰ περίοδον οὐδὲν τοιοῦτον ὑπομένουσι καὶ οἱ μὲν μετὰ βαρείας καὶ ἐπηρμένης ἀναπνοῆς καταφέρονται, ὥστε καὶ ῥέγχειν καὶ νυγμοὺς καὶ στεναγμοὺς ἀναφέρειν ἐκφαντιστικοὺς τῆς ὀδύνης, ἣν οὐδὲ ἐξειπεῖν δύνανται ἀνακληθέντες διὰ τὸ βεβλάφθαι τὸν λογισμόν· οἱ δὲ ἡσυχέστατα δοκοῦσιν ὑπνοῦν καὶ οἷς μὲν περιέψυκται τὰ κῶλα καὶ ῥυσὰ καὶ ὠχρά ἐστι καὶ πέπηγε σχεδὸν ἡ σύγκρισις, οἷς δὲ διακέχυται καὶ οἷον δροσίζει περὶ τὰς παρακμὰς τῶν παροξυσμῶν. τοῖς μὲν οὖν κατεχομένοις τῷ πάθει ταῦτα συνεδρεύει· ἀνέσπαται τὸ ὑποχόνδριον καὶ συνῆκται ἡ κοιλία καὶ διεγειρόμενοι βίᾳ ὑπὸ τῶν προσεδρευόντων πάλιν εἰς ὕπνον ἕλκονται καὶ λήθη αὐτοῖς συνεδρεύει· καὶ γὰρ πρὸς οὔρησιν πολλάκις ἐπειγόμενοι, ἐπιδοθέντος αὐτοῖς οὐρητήρου σκεύους κατέχοντες αὐτὸ τῇ χειρὶ ἐπιλανθάνονται. ἐπιτεινομένου δὲ τοῦ κακοῦ σύμπαν τὸ σῶμα νωθρὸν καὶ οἷον νεκρῶδες γίγνεται, ὕπτιοι κατακείμενοι ἐπὶ πόδας καταρρέουσι, διερριμμένοι τὰς χεῖρας καὶ τὰ σκέλη, μυκτὴρ ἐνίοις ἀποστάζει, κέχηνεν αὐτοῖς τὸ στόμα καὶ ῥωγμὸς ἰσχυρότερος ἐπιγίγνεται, ἡ κάτω γένυς οἷον παρειμένη καὶ κεχαλασμένη ὁρᾶται. τὰ μὲν συνεδρεύοντα τῷ ληθαργικῷ πάθει ταῦτα. θεραπεύοντες δὲ κατακλινοῦμεν αὐτοὺς ἐν οἴκῳ φωτεινῷ πρὸς αὐγήν· ἔστω δὲ ὁ οἶκος ἀλεεινός· ψηλαφητέον δὲ πόδας καὶ χεῖρας καὶ ὀσφραντὰ διεγερτικὰ προσάγειν, οἷόν ἐστι τὸ καστόριον ἐλλύχνιον ἐσβεσμένον πίσσα· ὑγρὰ ἄσφαλτος χαλβάνη· καὶ ὑποθυμιώμενα δὲ διεγείρει τοὺς ληθαργικούς· λίθος γαγάτης ἄσφαλτος καστόριον πευκέδανον θεῖον χαλβάνη σαγαπηνὸν κέρας ἐλάφειον τράγου ῥύπος ἀβρότονον σίλφιον· προσάγειν δὲ ταῖς ῥισὶ καὶ τὰ πταρμικά· πλήθους δὲ ὑποκειμένου, εἰ μὲν αἷμα εἴη τὸ πλεονάζον, τέμνειν φλέβα τῇ δευτέρᾳ τῶν ἡμερῶν καὶ κενοῦν πρὸς δύναμιν. εἰ δὲ φλεγματώδης καὶ ὑγροτέρα ἡ ὕλη εἴη, ὥσπερ καὶ εἴωθεν ἐπὶ τῶν ληθαργικῶν πλεονεκτεῖν, προσφέρειν δεῖ τὰ λεπτύνειν δυνάμενα καὶ τέμνειν τὸ πάχος, καὶ ἐπὶ μὲν τῶν μὴ κεκακωμένων τὸ νευρῶδες ὀξύμελι διδόντας, ἐπὶ δὲ τῶν κεκακωμένων ἀφέψημα σελίνου μαράθρου ἀδιάντου καὶ τῶν ὁμοίων καὶ κλύζειν δὲ τὴν κοιλίαν δραστικωτέρῳ κλύσματι καὶ βαλάνοις χρηστέον τοῖς διὰ πηγάνου καὶ νίτρου καὶ κυμίνου καὶ μέλιτος ἑφθοῦ· ἐμβρέχειν δὲ τὴν κεφαλὴν κατ’ ἀρχὰς μὲν ἕρπυλλον ἐναφέψοντες σὺν ὄξει καὶ ἐλαίῳ· ἐν δὲ ταῖς ἐπιτεταμέναις κατοχαῖς πευκεδάνου ῥίζα ἀντὶ τοῦ ἑρπύλλου ἐναφέψεται τῷ ὄξει καὶ σὺν τῷ ἐλαίῳ προσάγεται τῇ κεφαλῇ· ἀγαθὸν δὲ ἐπ’ αὐτῶν καὶ τὸ ἴρινον ἔλαιον. [55]

3 (50) τρόμων δὲ καὶ συνολκῶν ἐπιγιγνομένων καστόριον σὺν ὀλίγῳ ὄξει λεαίνοντες σὺν τῷ ἐλαίῳ τὴν κεφαλὴν ἐμβρέχομεν. εἰ δὲ φλεγμαίνοι τὰ ὑποχόνδρια, καταπλάσσειν ἐν ἀρχαῖς διὰ γύρεως ἢ ἄρτου ἢ κυδωνίου μήλου ἑφθοῦ ἢ ἑλίκων ἀμπέλου. προελθόντων δὲ λινόσπερμον τῇ γύρει ἢ τῷ ἄρτῳ προσπλεκτέον καὶ ἀψινθίου καὶ τῆς ἀλθαίας τὰ φύλλα κάτεφθα, ὕστερον δὲ διὰ κριθίνου ἀλεύρου καὶ τήλεως καὶ ἀλθαίας ῥίζης, πᾶσι δὲ ἀψίνθιον προσπλέκειν. ἔστω δὲ πλατὺ τὸ ῥάκος, ὥστε περιλαμβάνειν ἑκατέρωθεν τὰς πλευρὰς καὶ τοῦ θώρακος τὰ ὑπὸ τοὺς μασθούς· μετὰ δὲ τὸ κατάπλασμα οὐ χρὴ γυμνὰ τὰ μέρη καταλιμπάνεσθαι, ἀλλὰ κηρωτῇ ναρδίνῃ ἢ κυπρίνῃ σκέπειν αὐτά, ὄπισθεν δὲ κατὰ τοῦ μεταφρένου κηρωτὴν διὰ Σικυωνίου γεγενημένην ἐπιθεῖναι, ἔχουσαν δὲ τερεβινθίνην καὶ δαφνίδων λείων ἐμπεπασμένων. καὶ εἰ μὲν ἐμπνευμάτωσις συνεδρεύοι, προσπλέκειν τοῖς καταπλάσμασι τὰ ἄφυσα, οἷον κύμινον δαφνίδας πήγανον καὶ τὰ ὅμοια. εἰ δὲ σκληρῶδές τι ὑποπίπτει καὶ λιβανωτίδος προσπλέκειν καὶ κυάμινον ἄλευρον. ἐπὶ δὲ τῶν ἤδη χρονιζόντων ληθαργικῶν, δυνάμεως ὑποκειμένης, διδόναι τὴν διὰ κολοκυνθίδος ἱερὰν καὶ πταρμικὰ προσάγειν ταῖς ῥισὶ δι’ ἐλλεβόρου λευκοῦ καὶ στρουθίου καὶ πεπέρεως καὶ καστορίου καὶ ταῖς ῥισὶν ἐγχέειν ἐλατήριον μετὰ γάλακτος ἢ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κυκλαμίνου χυλὸν ἢ αὐτὴν τὴν ῥίζαν ξηρὰν λείαν ἐμφυσᾶν καὶ διαχρίειν τὸ στόμα καὶ τὸν οὐρανίσκον σινήπει μετὰ μέλιτος, ἔπειτα σικυαστέον τὰ ὀπίσθια τῆς κεφαλῆς μετὰ φλογὸς πλείονος καὶ τὰ περὶ τὸν πρῶτον καὶ δεύτερον σπόνδυλον καὶ ἀφαιρεῖν αἷμα ἐκ τοῦ ὀπισθίου τῆς κεφαλῆς, εἶτα ξυρίσαντας τὰς τρίχας τῆς κεφαλῆς σιναπίζειν ἰσχάσι μετὰ τοῦ νάπυος ὄξει βεβρεγμένου. ἐπὶ δὲ τῶν τρομωδῶν καὶ καστόριον συνεχῶς ποτίζειν ὅσον < α μετὰ μελικράτου κυάθων Γ c. παρακμάσαντος δὲ τοῦ πάθους ἐπὶ λουτρὸν ἄγειν σμήγματι δηκτικωτέρῳ χρωμένους, οἷόν ἐστι τρύγη κεκαυμένη νᾶπυ πύρεθρον πέπερι δαφνίδες ἄσβεστος· νίτρου δὲ τὸ διπλοῦν ἐμβαλλέσθω. τροφαὶ δὲ ἔστωσαν λεπτομερεῖς καὶ τμητικαὶ καὶ ξηραντικαὶ καὶ δι’ ἀρτυμάτων σελίνου καὶ κυμίνου καὶ ἀνήθου πεπέρεώς τε καὶ δαφνίδων, καὶ πτηνῶν μὲν ὄρνις κατοικίδιος περιστερὰ καὶ τῶν στρουθίων οἱ ὄρειοι καὶ πέρδιξ, ἰχθύων δὲ οἱ πετραῖοι, λαχάνων πράσα ἀσπάραγος πετροσέλινα χαμαιδάφναι, οἶνος ὁ ὑδατώδης λεγόμενος λεπτὸς καὶ λευκὸς ὑποστύφων καὶ ἡ λοιπὴ ἐπιμέλεια ὁμοία γιγνέσθω. Περὶ κατοχῆς καὶ καταλήψεως ἐκ τῶν Ἀρχιγένους καὶ Ποσειδωνίου. [85]

4 μέσον τι φρενίτιδος καὶ ληθάργου πάθος εὑρήσεις, ὅ ἐστιν εἶδος παρανοίας ἢ παρακοπῆς. καλεῖν δὲ τοῦτο εἰθίσθησαν οἱ ἰατροὶ κατοχὴν καὶ κατάληψιν ἐπὶ χυμῷ συμβαίνοντι μᾶλλον μελαγχολικῷ. ἐπισφαλέστερον δὲ τοῦτο τὸ πάθος ἐστὶ ληθάργου. ἐπὶ πυρετοῖς δὲ συνίστανται παρομοίοις ληθάργῳ καὶ ὁτὲ μὲν δοκοῦσιν ὑπνώττειν, ὁτὲ δὲ ἀνεῳγότα ἔχοντες τὰ βλέφαρα ἢ σκαρδαμύττουσιν ἢ ἀτενὲς ὁρῶσι καὶ ὡς πεπηγότας ἔχουσι τοὺς ὀφθαλμοὺς καὶ ἀκινήτους, ὡς ἐνίοτε οὐδ’ εἰ τὴν χεῖρά τις φέροι κατὰ τοὺς αὐτῶν ὀφθαλμοὺς μύουσιν· ἄφωνοί τέ εἰσι καὶ ἀναίσθητοι μηδ’ ἀκούοντες μηδ’ ἀποκρινόμενοι. φέρουσι δὲ τὰς χεῖρας αὐτῶν ἐνίοτε περὶ κεφαλὴν καὶ ὀφθαλμοὺς καὶ ῥῖνας, ὡς κνώμενοι, οὐ μετ’ αἰσθήσεως· σφυγμοὶ μικροὶ νωθροὶ ὀλίγου δεῖν ἐκλείποντες· πνεῦμα ποτὲ μὲν πυκνὸν ποτὲ δὲ ἀραιὸν καὶ ἐκ διαστημάτων τινῶν ἀναπνέουσι μεγάλως, κοιλίας καὶ οὔρων ἐποχὴ οὐχ ὑπὸ ξηρότητος· ἔχει γὰρ ὑγρὸν καὶ πολύ, ἀλλὰ διὰ τὴν ἀναισθησίαν· λῆμαι τούτοις ὑπόξηροι τοῖς κανθοῖς προσπεπήγασιν· ἐνίοτε δὲ καὶ προσάπτονται τῶν πλησίων τοίχων καὶ ἁπλῶς εἰπεῖν οὔτε φρενιτικοῖς τὸ πᾶν ἐοίκασιν οὔτε ληθάργοις. γίγνεται δ’ ἐνίοτε τὸ πάθος καὶ διὰ πλῆθος αἵματος ἀθρόαν τὴν ὁρμὴν ἐπὶ τὴν κεφαλὴν λαμβάνοντος καὶ ὑπερπληροῦντος ταύτην, ὥσπερ ἐθεασάμεθα ἐπί τινος νεανίσκου πολυαίμου. διατελέσας γὰρ οὗτος τρεῖς ἡμέρας μήτε μύων τὰ βλέφαρα μήτε πρὸς τὰς σφοδρὰς ἐκβοήσεις μετακινῶν τοὺς ὀφθαλμοὺς μήτε μὴν ὑποκρινόμενος, τῇ δὲ τετάρτῃ αἰφνίδιον αἱμορραγία λάβρος διὰ ῥινῶν γέγονε πλείστη καὶ παραχρῆμα πάντων τῶν ὀχληρῶν ἀπηλλάγη. ὅθεν εἰ μὲν πολύαιμός σοι φαίνοιτο ὁ κάμνων, ἀνυπερθέτως τέμνειν ἐν ἀγκῶνι φλέβα τὴν ἀνωτέραν καὶ ἄφελε πρὸς δύναμιν. ἐπὶ δὲ τῶν ἄλλων, πρῶτον μὲν κλύζειν χρὴ τὴν κοιλίαν τοῖς ἁπλουστέροις κλύσμασιν, οἷον πιτύρων χυλῷ καὶ ἀφρονίτρῳ καὶ μέλιτι, ἔπειτα καὶ πολυποδίου ῥίζαν συνεψεῖν τοῖς πιτύροις. τὴν δὲ κεφαλὴν πρῶτον μὲν ἐμβρέχειν ἐλαίῳ γλυκεῖ χλιαρῷ, ἔπειτα δὲ εἰ μὲν θερμοτέρα φαίνοιτο ἡ κεφαλὴ κωδίαν ἐναφεψεῖν τῷ ἐλαίῳ, εἰ δὲ ψυχροτέρα, ἕρπυλλον· καὶ εἰ μὲν εὔλυτος γένοιτο ἡ κοιλία ἐπὶ τοῖς εἰρημένοις κλύσμασιν, ἐπιμένειν αὐτοῖς· εἰ δὲ ἐπέχοιτο, ἐλλεβόρου μέλανος ῥίζαν συναφεψεῖν τοῖς πιτύροις. πόμα δ’ αὐτοῖς ἁρμόδιον τὸ ἀπόμελι ἢ μελίκρατον ἐπὶ πολὺ ἑψημένον πρὸς τὴν ὥραν. εἰ δὲ πάχος ἐν τοῖς οὔροις εἴη καὶ ἀνήθου ἀφέψημα καὶ σελίνου διδόναι. τροφαὶ δ’ ἔστωσαν πτισσάνης χυλὸς καὶ τὰ παραπλήσια. ὕδωρ δὲ τούτοις πολέμιον πινόμενον· ἐπιτείνει γὰρ τὴν ἐμπνευμάτωσιν καὶ κλύδωνας ἐργάζεται καὶ σπλῆνας ἐγείρει καὶ τὴν δίψαν οὐ παύει. ἀλειφέσθωσαν δὲ τὸ πᾶν σῶμα ἀνηθίνῳ καὶ μάλιστα χειμῶνος· ἐφ’ ὧν δὲ καὶ τρόμος ἐπιγίγνεται καὶ καστόριον λεαίνων ὅσον < α σὺν τῷ μελικράτῳ ἐγχεῖν τῷ στόματι. Περὶ κάρου Ποσειδωνίου. [40]

5 ψυχρῶν καὶ ὑγρῶν καὶ φλεγματικῶν χυμῶν καταλαμβανόντων τὸν ἐγκέφαλον ὁ κάρος ἐπιγίγνεται μετὰ πυρετοῦ βληχροῦ· παρέπεται δὲ αὐτοῖς ἀναισθησία καὶ ἀκινησία τοῦ παντὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σώματος μετὰ βλάβης τῶν ἡγεμονικῶν ἐνεργειῶν. μεμύκασι δ’ αὐτῶν διὰ παντὸς οἱ ὀφθαλμοί. διαφέρει δὲ κάρος ληθάργου τῷ τοὺς μὲν ληθαργικοὺς ἐρωτωμένους ἀποκρίνεσθαι καὶ μὴ παντελῶς ἀφώνους κατακεῖσθαι, τοὺς δὲ κάρῳ περιπεπτωκότας ὕπνῳ βαθυτάτῳ κατέχεσθαι, ὡς νυττομένων αὐτῶν αἰσθάνεσθαι μέν, μὴ μέντοι φθέγξασθαι μηδ’ ἀνοίγειν τοὺς ὀφθαλμούς. θεραπεύειν δὲ τούτους παραπλησίως τοῖς ληθαργικοῖς, λεπτυντικωτέραν καὶ τμητικωτέραν τὴν ἀγωγὴν ποιουμένους. μετεχέτω δὲ καὶ καταπλάσματα καὶ τὰ ἐπιθέματα τοῦ στομάχου σὺν τῷ θερμαίνειν καὶ τῆς τονωτικῆς δυνάμεως. Περὶ κώματος ἐκ τῶν Ποσειδωνίου.

6 ἀτμοὶ ὑγροὶ καὶ θερμοὶ ἐκ τῶν ὑποκειμένων ἐπὶ τὴν κεφαλὴν ἀναφερόμενοι ἐν πυρετοῖς καὶ πληροῦντες ταύτην πάθος ἐργάζονται, ὅπερ ὀνομάζουσιν οἱ ἰατροὶ κῶμα. διάγνωσις δέ σοι σαφὴς ἔσται ὕπνου γιγνομένου πλείονος τοῦ κατὰ φύσιν καὶ φθέγγονται ἐν τοῖς ὕπνοις ἀλλόκοτα καὶ τὸ σῶμα ἀνωμάλως ἔχουσι καὶ τὴν κάτω γένυν ἐν τῷ καθεύδειν χαλωμένην καὶ διεγερθέντες πολλάκις ἀθρόως πάλιν ἐπικαταφέρονται τῷ ὕπνῳ καὶ τὴν κεφαλὴν ὑγροτέραν ἔχουσι. θεραπεία δὲ ἐμβροχὴ διὰ ῥοδίνου τὸ εἰκοστὸν μέρος προσλαβόντος ὄξους· μὴ παρόντος δὲ τοῦ ῥοδίνου χαμαιμηλίνῳ χρηστέον σὺν τῷ ὄξει· ἔστω δὲ δριμύτατον τὸ ὄξος. εἰ δὲ ψυχροτέρα ἡ κεφαλὴ φαίνοιτο, ἀνήθινον σὺν γλυκεῖ ἐλαίῳ προσπλέξας ἐξ ἴσου καὶ θερμάνας ἔμβρεχε καὶ συντόμως εἰπεῖν ἐφ’ ὅσον ἐπιτέταται ἡ ψῦξις, ἐπὶ τοσοῦτον καὶ τὰ θερμάσματα ἐπιτείνειν, ὥστε καὶ γλήχωνά ποτε καὶ πήγανον ἐναφεψεῖν τῷ ἐλαίῳ· βαλανιστέον δὲ καὶ τὴν ἕδραν τοῖς ἱκανῶς ἐρεθίζειν δυναμένοις, τρέφειν δὲ χυλῷ πτισσάνης σὺν ἀπομέλιτι. Περὶ σκοτωματικῶν Ἀρχιγένους καὶ Ποσειδωνίου.

7 ἀτμῶν θερμῶν καὶ δριμέων ἐπὶ τὴν κεφαλὴν ἀναφερομένων καὶ τρεπόντων τὸ ψυχικὸν ἐν τῷ ἐγκεφάλῳ πνεῦμα, πρῶτον μὲν ἀμβλυωγμοί τινες τοῖς ὀφθαλμοῖς ἐγγίγνονται, ἔπειτα καὶ ὤτων ἦχοι συνηχεῖς καὶ δυσηκοΐαι. μάλιστα δὲ τοῦτο συμβαίνει περὶ τὰς τῶν σιτίων πέψεις καὶ ἀνισταμένοις ἐξ ὕπνου. ἐπιτεινομένου δὲ τοῦ πάθους ἐπιγίγνονται ἴλιγγοι καὶ σκοτώματα, ὡς δοκεῖν πάντα ὁρᾶν περιστρεφόμενα. καὶ τοῦτο δὲ συμβαίνει ἐπειδὰν ἀθρόως ἐξαναστῶσιν ἐκ τῶν καθεδρῶν, ἀπεψίας προηγησαμένης τινός. χρονίζοντος δὲ τοῦ πάθους καὶ ἐπὶ μικραῖς προφάσεσι σκοτοῦνται, ὥστε καὶ καταπίπτειν ἐνίοτε, μάλιστα μὲν ὅταν αὐτοί ποτε ἐν κύκλῳ περιστραφῶσιν· ὅπερ γὰρ ἄλλοις ἐπὶ πολλαῖς περιστροφαῖς γίγνεται, τοῦτ’ ἐκείνοις ἐπὶ μιᾶς, κἂν ἕτερον δέ τινα περιστρεφόμενον ἴδωσι σκοτοῦνται, κἂν τροχὸν ἤ τι τοιοῦτον περιδινούμενον θεάσωνται, ταὐτὸ ὑπομένουσι· τὸ γὰρ ὀπτικὸν πνεῦμα προσπῖπτον τῷ περιδινουμένῳ τροχῷ κινεῖται καὶ αὐτὸ συμπεριφερόμενον ἐκείνῳ καὶ οὕτως ἀνώμαλον καὶ ταραχώδη καὶ ἄτακτον τόν τε χυμὸν καὶ τοῦ πνεύματος τὴν κίνησιν ἐργάζεται. εὐάλωτοι δὲ τῷ πάθει οἱ ἐπεσχημένοι τὰς συνήθεις ἐκκρίσεις καὶ ἀπεψίαι δὲ καὶ ἐγκαύσεις συνεχεῖς καὶ μέθαι ἀποτελεστικαὶ τοῦ πάθους εἰσί. παρακολουθεῖ δ’ αὐτοῖς καὶ ἐποχὴ τῆς κοιλίας καὶ διὰ τοῦτο ἐμπνευμάτωσις ἱκανὴ καὶ οὔρων λεπτῶν καὶ ὀλίγων ἔκκρισις τῆς ὕλης ἐπὶ τὴν κεφαλὴν τὴν ὁρμὴν ἐχούσης. ἰσχνοὶ δὲ ὡς ἐπίπαν γίγνονται καὶ νωθροὶ πρὸς πᾶσαν ἐπιβολήν. οἱ μὲν οὖν ἐναιμότερα τὰ προφαινόμενα τῶν ὀφθαλμῶν δοκοῦντες ὁρᾶν πρὸς μανίαν μᾶλλον ἐπιτηδείως ἔχουσιν, οἱ δὲ πορφυρίζοντα ὁρῶντες πρὸς ἐπιληψίαν. τῆς μὲν οὖν δυνάμεως ἰσχυρᾶς ὑπαρχούσης καὶ μηδενὸς ἑτέρου ἐναντιουμένου φλεβοτομητέον, ἄν τε ἀρχὴ τοῦ πάθους εἴη ἄν τε καὶ προκόψαντος ἤδη τοῦ χρόνου. ἐν δὲ τῇ φλεβοτομίᾳ φυλακτέον [χρὴ] μὴ ἀθρόον κενοῦν διὰ τὸ ἐκ τῆς τυχούσης προφάσεως αὐτοὺς καταπίπτειν, ὅθεν πλείοσιν ἀφαιρέσεσι χρώμενοι ἐκ διαστημάτων τινῶν ἀναπληρώσομεν τὴν συμμετρίαν. ἐμβρεχέσθω δὲ ἡ κεφαλὴ κατὰ τὸν καιρὸν τῆς φλεβοτομίας ὀξυροδίνῳ, προσπλέκοντες πολυγόνου χυλὸν ἢ κισσοῦ καὶ πιλήματα δὲ ἐξ ἐρίου διάβροχα ῥοδίνῳ ἢ οἰνανθίνῳ τῇ κοιλίᾳ ἐπιτιθέσθω κατὰ τοῦτον τὸν καιρόν. εἰ δὲ τὴν ἀφαίρεσιν τοῦ αἵματος εἴη τι κωλῦον, ὥσπερ ἰσχνότης ἢ ἕτερόν τι τῶν πλειστάκις εἰρημένων, ὑποσυρέσθω ἡ κοιλία, πρῶτον μὲν τῷ διὰ πιτύρων καὶ μέλιτος καὶ ἀφρονίτρου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κλυστῆρι, ἔπειτα δὲ τὴν δι’ ἀλόης πικρὰν διδόναι συνεχῶς. εἰ δ’ ἐπιμένοι τὰ συμπτώματα, δεήσει καὶ σφοδροτέροις καθαρτηρίοις χρῆσθαι. ὁρῶν δὲ τὸν πλεονάζοντα χυμὸν πρὸς τοῦτον ἅρμοζε τὸ φάρμακον. τῶν δὲ δραστικωτέρων καθαρτηρίων εὐδοκιμεῖ ἅτινα μάραθρα συναφεψόμενα τῷ ὀξυμέλιτι ἔχει καὶ τὸ διὰ φοινίκων καὶ πηγάνου καὶ σκαμμωνίας, ὧν αἱ συνθέσεις προείρηνται ἐν τῷ περὶ καθαρτηρίων λόγῳ. καὶ ἀποφλεγματισμοῖς δὲ χρηστέον καὶ ἀναγαργαρίσμασι τοῖς δι’ ὀριγάνου καὶ γλήχωνος καὶ ὀξυμέλιτος, ἔπειτα καὶ ταῖς ῥισὶν ἀναγαλλίδος χυλὸν ἐγχεῖν ἢ κυκλαμίνου ἢ σεύτλου ῥίζης ἢ ἐλατήριον μετὰ γάλακτος καὶ νίτρον δὲ σὺν μελανθίῳ λειωθὲν καὶ ἐλαίῳ παλαιῷ ἀναμιχθὲν γενναίως διὰ τῶν ῥινῶν ποιεῖται τὴν κάθαρσιν. μετὰ δὲ ταῦτα ἐπὶ βαλανεῖον διάγειν. τριμμάτιον δ’ αὐτοῖς ἁρμόζει τονωτικὸν τῆς κεφαλῆς τοῦτο· λίθου Ἀσίου 𐅻 α ἀφρονίτρου λευκοῦ 𐅻 α ἴρεως 𐅻 α σχοίνου ἄνθους 𐅻 β ῥόδων ξηρῶν 𐅻 β · ἐκ τούτου λαβὼν τὸ ἀρκοῦν ἐπίπασσε τῷ βρέγματι τῆς κεφαλῆς, ἐπιρραίνων ὕδατος θερμοῦ βραχύ· εἶτα λουσάμενος καὶ μὴ βρέχων τὴν κεφαλὴν τῷ θερμῷ, ἀλλὰ μόνον ἀποπλύνων, ἐξελθὼν βρεχέτω τῷ ψυχρῷ τρίτον ἢ πλεονάκις.

7 (50) τοῖς δὲ ἄγαν θερμὴν ἔχουσι τὴν κεφαλὴν καὶ ῥόδινον σὺν ὄξει πολλάκις ἐπιβάλλειν καὶ ψύχειν αὐτὴν τῷ ἐκ τῶν κρουνῶν ὕδατι ἐν τοῖς βαλανείοις. εἰ μὲν οὖν ἐπὶ τούτοις εἴκοι τὸ πάθος, παύειν τὴν ὀχληρὰν προσαγωγήν· εἰ δ’ ἐπιμένοι, τέμνειν τὰς ἐν τῇ κεφαλῇ κατὰ τοὺς κροτάφους ἀνωτέρω τῶν ὤτων ἀρτηρίας προκενώσας τὴν κοιλίαν ἢ τῇ ἱερᾷ ἢ κλυστῆρι. μετὰ δὲ ταῦτα τριμματίοις ἰσχυροτέροις κεχρῆσθαι τοῖς ἐπὶ τῶν μαινομένων ῥηθησομένοις. τροφαὶ δ’ ἔστωσαν εὔχυμοι εὐδιοίκητοι ἄφυσοι παντάπασιν εὐστόμαχοι εὐκοίλιοι· οἶνος δ’ ὀλίγος μὲν λευκὸς δὲ καὶ λεπτότατος καὶ μὴ πάνυ παλαιός· ἁρμόδια δὲ τούτοις τὰ στυπτηριώδη αὐτοφυῆ λουτρά. μεγίστη δὲ καὶ πρώτη καὶ ὑστάτη τούτων προφυλακὴ καὶ θεραπεία ἐστὶν ἡ ὑπόμνησις τῶν ἐπεσχημένων ἐκκρίσεων, μάλιστα ἐπὶ γυναικῶν. Περὶ μανίας ἐκ τῶν Ἀρχιγένους καὶ Ποσειδωνίου.

8 γίγνεται μανία χωρὶς πυρετοῦ αἵματος πολλοῦ ἀσαποῦς ἐπιρρεύσαντος τῷ ἐγκεφάλῳ, ποτὲ μὲν εὐκράτου, τῷ πλήθει μόνον λυποῦντος, ὡς ἐπὶ τῶν μεθυόντων, ποτὲ δὲ ξανθοχόλου. προηγεῖται δὲ τῆς μανίας ἀσθένεια τῆς κεφαλῆς, ὡς ἐπὶ τῶν ποδαγρῶν ἡ ἀσθένεια τῶν ποδῶν ἀεὶ μὲν πάρεστι. τότε δ’ ὀδυνῶνται, ὁπόταν ἡ ὕλη ἐπιρρεύσῃ τοῖς τόποις. ἐπὶ μόνῳ τοίνυν τῷ αἵματι γιγνομένης τῆς μανίας ταῦτα παρέπεται τοῖς πάσχουσι· γέλως ἄσχετος αὐτοῖς κινεῖται θεωμένοις πολλάκις πρὸ τῶν ὀφθαλμῶν εἴδωλά τινα γέλωτος ἄξια φαιδρόν τε αὐτοῖς ἐστι τὸ πρόσωπον καὶ ᾄδουσι συνεχῶς· ἐνίοτε γὰρ ἐκ τῶν γιγνομένων ἀναθυμιάσεων ἦχοι περὶ τὰ ὦτα συνεδρεύουσιν, ὡς δοκεῖν αὐτοὺς αὐλητῶν τινων ἀκροᾶσθαι. σῴζεται δ’ αὐτοῖς ἡ μνήμη, ὡς ἐξ ὧν ᾄδουσι συνήθη αὐτοῖς ὄντα ἔνεστι τεκμαίρεσθαι· βέβλαπται δὲ τὸ φανταστικὸν καὶ τὸ λογιστικόν. μιχθείσης δὲ τῷ αἵματι τῆς ξανθῆς χολῆς καὶ δακνῶδες αὐτὸ ἀποτελεσάσης, οἷον κεντουμένου καὶ νυττομένου ἐξ αὐτῆς ἔνδοθεν τοῦ ἐγκεφάλου καὶ τῶν μηνίγγων, ὀργίλοι καὶ θρασεῖς γίνονται καὶ πλῆκται καὶ ὑβρισταί. ἐφ’ ὅσον γὰρ ἡ χολὴ ἀναμέμικται τῷ αἵματι, ἐπὶ τοσοῦτον παραλλάξει τὰ τερπνὰ καὶ ἐπιτείνει τὰ ἀηδῆ καὶ θυμικά· ὑπεροπτωμένης δὲ ἐπὶ πλέον τῆς ξανθῆς χολῆς καὶ παχυνομένης καὶ οἷον προσπλαττομένης αὐτῷ τῷ σώματι τοῦ ἐγκεφάλου καὶ τῶν μηνίγγων ἰξωδῶς καὶ νυττούσης καὶ διασπώσης, τὰς θηριώδεις παραφροσύνας ἐργάζεται. ἤδη γάρ τινες καὶ τῆς ἰδίας σαρκὸς ἐγεύσαντο καὶ τοὺς οἰκείους ὡς ἐπιβούλους ἐτύπτησαν ἢ ἐτραυμάτισαν ἢ διεχειρίσαντο· ἐγχωρεῖ δὲ καὶ τὸν αὐτὸν ἄνθρωπον ποτὲ μὲν γέλωτι παραλόγῳ κατέχεσθαι, ποτὲ δὲ θυμοῖς καὶ ὀργαῖς. ἐν γὰρ ταῖς ἀσιτίαις καὶ ταῖς δριμυτέραις καὶ ἁλυκωτέραις τροφαῖς καὶ ἐν ταῖς πλείοσι κινήσεσι καὶ ταραχαῖς δριμύτερον ἑαυτοῦ ἀποτελεῖται τὸ αἷμα, ἐν δὲ τῇ ἐναντίᾳ καταστάσει ἠπιώτερον. πολλάκις δὲ καὶ μηδενὸς βοηθήματος προσαχθέντος ταῖς ὀλιγοσιτίαις καὶ ἐπιτηδείαις τροφαῖς ἀναλωθέντος τῷ χρόνῳ τοῦ παρενοχλοῦντος καὶ μένοντος τοῦ ἐγκεφάλου ἀπερίττου διάλειμμα καθαρὸν τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκστάσεως γίγνεται. τισὶ δὲ καὶ κατὰ περίοδόν τινα ἐπιπίπτει τὸ πάθος, τισὶ δὲ ἅπαξ τοῦ ἔτους, τισὶ δὲ δεύτερον ἢ πλεονάκις, ἀθροιζομένου κατὰ βραχὺ δηλονότι τοῦ ἐνοχλοῦντος. ἁλίσκονται δὲ τῷ πάθει, ὀλίγοι μὲν πρὸ τῆς ἀκμῆς, οἱ πλεῖστοι δὲ ἐν τῇ ἀκμῇ καὶ μετὰ ταύτην, ἄνδρες δὲ μᾶλλον γυναικῶν καὶ τούτων οἱ παθήμασί τισι ψυχικοῖς ἐνοχλούμενοι, οἷον οἱ σκῶπται οἱ φιλογέλωτες ἢ ἀκαιρογέλωτες οἱ δυσπειθεῖς οἱ ὀργίλοι οἱ φροντιστικοὶ οἱ φιλάργυροι, ἤδη δὲ καὶ οἱ πολυπόται καὶ οἱ συνεχῶς ἀπεπτοῦντες καὶ οἱ τὰς συνήθεις ἐκκρίσεις ἐπεσχημένοι· διὰ τοῦτο καὶ γυναῖκες ἐνίοτε μαίνονται, αἷς ἐπίσχηται τὰ καταμήνια. μυρίαι δὲ ἰδέαι μανίας εἰσίν, ἃς ἐκθεῖναι περιττόν. τοῖς μὲν οὖν μέλλουσι περιπίπτειν τῷ πάθει προηγεῖταί τινα προοίμια τῶν προρρηθέντων οἷον γέλως παράλογος οὐχ οὕτως εἰθισμένοις καὶ ὀργίζονται ἐπὶ τῇ τυχούσῃ προφάσει καὶ ἦχοι ὤτων καὶ μαρμαρυγαὶ πρὸ τῶν ὀφθαλμῶν προφαίνονται, ἀγρυπνίαι τε σύντονοι καὶ φροντίδες ἐπάλληλοι καὶ ἀλλόκοτοι, βάρος καὶ παλμὸς τῆς κεφαλῆς. προκόπτοντος δὲ τοῦ χρόνου πάντα ταῦτα ἐπιτείνεται καὶ λυσσωδέστεραι αὐτοῖς αἱ ὀρέξεις γίγνονται καὶ πρὸς τὰ ἀφροδίσια προθυμίαι· διὰ τοῦτο καὶ ὀνειρωγμοὶ συνεχεῖς, ὀφθαλμοί τε κοιλαίνονται μετὰ τοῦ ἀτενῶς ἵστασθαι καὶ ταῦτα παρακολουθεῖ μέχρι τελείας ἐκστάσεως. δεῖ οὖν τὸν ἐπιστήμονα ἰατρὸν ἐπιμελούμενον τοῦ κάμνοντος τούτων προφανέντων ἤ τινων αὐτῶν τὰ δέοντα πρᾶξαι· προσημαίνοντος τοίνυν τοῦ πάθους ἢ καὶ ἤδη ἐνεστηκότος τὴν μὲν δίαιταν λεπτὴν ἁρμόζειν ῥοφηματώδη ὑγρὰν ἄπληκτον εὐκοίλιον, οἷον σεμίδαλιν [θασίφορον θασύγαλα] τρέφουσαν σεμιδαλιθάσιον χυλὸν πτισσάνης ἢ τρόγαλα καὶ ψίχας μετὰ ἀκρατομέλιτος. [55]

8 (50) τοιαύτην οὖν τὴν δίαιταν ἁρμόζειν ἢ οὐδαμῶς ἢ ἥκιστα γεννᾶν αἷμα δυναμένην καὶ οἴνου παντάπασιν ἀπέχειν. τριῶν δὲ οὕτως ἡμερῶν διαιτήσας τὸν ἄνθρωπον τέμνε τῶν ἐν ἀγκῶνι φλεβῶν, προηγουμένως μὲν τὴν ἄνω, εἰ δὲ μὴ φαίνοιτο, τὴν μέσην, εἰ δὲ μηδ’ αὐτὴ τὴν κάτω. μὴ φαινομένων δὲ τούτων τὰς ἐπὶ τῶν σφυρῶν ἐπιζητεῖν, καὶ μάλιστα ἐπὶ γυναικῶν. προτρέπεται γὰρ τῇ ῥοπῇ καὶ τὰ καταμήνια, εἰ δὲ μηδ’ αὗται φαίνοιντο, τὰς ἀπ’ ἄκρων χειρῶν ἢ ποδῶν. σπουδαστέον γάρ ἐστι πρότερον ἀπὸ φλεβὸς γενναίαν κένωσιν γενέσθαι καὶ οὕτως τῶν πεπονθότων μερῶν τὴν ἐπιμέλειαν ποιεῖσθαι. τέμνοντα δὲ τὴν φλέβα πρὸς δύναμιν τὴν κένωσιν ποιεῖσθαι χρή· ἀποσβεννυμένου γὰρ τοῦ φλογώδους, παραχρῆμα μὲν ἐπιστατικοὶ γίγνονται, ἅμα δὲ καὶ χώρα γίγνεται τοῖς ἄλλοις βοηθήμασιν. ἐπειδὴ δέ τινες ἐν μὲν τῇ πρώτῃ ἀφαιρέσει γενναίως φέρουσι τὴν κένωσιν, ἐν δὲ ταῖς μετὰ ταῦτα ἐπαφαιρέσεσιν εἰώθασι λειποθυμίαις ἁλίσκεσθαι, προσήκει τούτους ἐν τῇ πρώτῃ ἀφαιρέσει κενοῦν ὅσον ἡ χρεία ἀπαιτεῖ· συγκενοῦνται γὰρ οὕτως πολὺ τοῦ φυσώδους καὶ ἀτμώδους πνεύματος. δεῖ τοίνυν συνεχῶς ἅπτεσθαι τῶν σφυγμῶν ἐν τῷ ῥεῖν τὸ αἷμα καὶ εἰ καταπίπτοιεν, τότε ταμιεύεσθαι εἰς ἐπαφαιρέσεις. πολλάκις γὰρ ἀνακτησάμενοι τὴν δύναμιν τῇ δευτέρᾳ τῶν ἡμερῶν τὴν ἐπαφαίρεσιν ἐποιησάμεθα, ἔσθ’ ὅτε δὲ καὶ τῇ τρίτῃ φυλάξαντες τὴν διαίρεσιν ἁλῶν ἐπιθέσει. ἐμβρέχειν δὲ τὴν κεφαλὴν χρὴ ῥοδίνῳ σὺν ὄξει ἢ χυλῷ πολυγόνου ἢ κισσοῦ ἢ οἰνανθίνῳ ἐλαίῳ ἢ μηλίνῳ. ῥυπαρὸν δ’ ἔριον δευθὲν τῷ ἐλαίῳ ἐπιτιθέσθω καὶ συνεχέστερον νεαροποιεῖσθαι τῷ βρέγματι. παντὶ δὲ τρόπῳ μετὰ τὴν κένωσιν εἰς ἑσπέραν ὕπνον μηχανητέον· κενωθέντος γὰρ τοῦ αἵματος εἰ ἐπιγένοιτο ἀγρυπνία, δριμυτέρους καὶ ἀγριωτέρους αὐτοὺς ἀποτελεῖ. διὸ θαρροῦντες προσενέγκωμεν τὸ διὰ τῶν κωδιῶν ὑπνωτικὸν φάρμακον σὺν χυλῷ πτισσάνης ἢ ἄλικος ἢ σὺν τῷ πινομένῳ ὕδατι. ἀσμενὲς γὰρ εἰ καὶ μετὰ ταῦτα γενήσεται ὕπνος· οἱ γὰρ πλεῖστοι αὐτῶν περιφρονοῦσι παντὸς ὑπνωτικοῦ. διὸ κἂν τὴν πρώτην λαβόντες ὑπνώσωσι, διαλείποντες ἡμέραν μίαν πάλιν διδόναι τὸ διὰ κωδιῶν ὅσον κοχλιάριον. εἴωθε γὰρ καὶ μόνη μετὰ τὴν φλεβοτομίαν τελείαν ἀποκατάστασιν τῷ πάθει διδόναι μετὰ τῆς προσηκούσης διαίτης· παραφυλάττεσθαι μέντοι ἐφεξῆς αὐτὴν προσφέρειν· ναρκοῖ γὰρ τὴν αἴσθησιν. σπουδαστέον δὲ καὶ τὴν κοιλίαν εὔλυτον ποιεῖν διά τε τροφῶν καὶ κλυστήρων·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τούτων προγεγενημένων ἄρχεσθαι χρὴ τῶν τοπικῶν βοηθημάτων ἐνθένδε· αἷμα προσήκει ἀφαιρεῖν ἐκ τῶν ἐν μετώπῳ κυρτουμένων φλεβῶν τῆς μεσαιτάτης, φλεβοτόμῳ αὐτὴν διαιροῦντες οὐκ ἐπικρουστικῷ, ὥς τινες ποιοῦσι, διὰ τὰς ἐπιγιγνομένας πολλάκις μεγίστας φλεγμονὰς τοῦ περικρανίου ὑμένος τρωθέντος. ἀφαιρεῖν δὲ ὡς μίαν λίτραν αἵματος· μετὰ δὲ τὴν κένωσιν ταύτην ἐπὶ τῶν χολερικώτερον ἐχόντων τὸ αἷμα, διαστήσαντα ἡμέρας πέντε, διδόναι τὴν διὰ ἀλόης πικρὰν κοχλιαρίου μεγάλου πλῆθος σὺν μελικράτῳ, εἶτα καὶ διὰ ῥινῶν καθαίρειν τὴν κεφαλήν, σεύτλου ῥιζῶν χυλὸν ἐγχέοντα ἢ ἐλατήριον ἢ χάλκανθον σὺν γάλακτι καὶ πταρμικὸν προσφέρειν δι’ ἐλλεβόρου λευκοῦ καὶ στρουθίου καὶ ἀποφλεγματίζειν διά τε μαστίχης καὶ σταφίδος ἀγρίας διά τε ἀναγαργαρισμάτων δι’ ὀξυμέλιτος γιγνομένων, ἐν ᾧ ἕψηται γλήχων ὕσσωπον.

8 (100) ὑποσυρέσθω δ’ ἡ κοιλία κλύσμασι δριμέσι τοῖς διὰ κενταυρίου καθαρτηρίοις καὶ τοῖς διὰ γεντιανῆς· καὶ αὐτὴ δὲ καθ’ ἑαυτὴν ἡ γεντιανὴ ῥίζα χρησίμη προποτιζομένη δραχμῆς μιᾶς ὁλκῆς σὺν μελικράτῳ· δίδοται δὲ καὶ ἀριστολοχία ὡσαύτως. μάλιστα δ’ αὐτοὺς ὠφελεῖ ἱππομαράθου ῥίζα καὶ τὸ σπέρμα πινόμενον σὺν ὕδατι καθ’ ἡμέραν καὶ βρυωνίας ῥίζης < α καὶ βδέλλας δὲ μετὰ ταῦτα κολλητέον τῇ κεφαλῇ πάσῃ κατὰ κύκλον καὶ μάλιστα τῷ βρέγματι. ἐπὶ δὲ τῶν γυναικῶν σπουδαστέον τὰ καταμήνια κινεῖν, εἶτα ἀναλαβόντα τὴν δύναμιν ἐπὶ ἡμέρας ζ πρόσαγε τὴν Γαληνοῦ ἱεράν, ἥτις μάλιστα κεφαλὴν κενοῖ τῷ πλήθει τῆς στοιχάδος· δίδου δὲ < δ μετὰ μελικράτου· ἔπειτα τὰ ἔρρινα πάλιν προσάγειν. παρακμάζοντος δὲ τοῦ πάθους ἐπὶ λουτρὸν ἄγειν· τριμμάτιον δ’ αὐτοῖς ἐν τῷ λουτρῷ ἁρμόδιον τοῦτο· ἴρεως Ἰλλυρικῆς λίθου Ἀσίου μάννης ἀφρονίτρων λευκῶν κισσήρεως κηρύκων κεκαυμένων σχοίνου ἄνθους σελίνου ἑλενίου κασσίας ῥόδων ξηρῶν ἀνὰ 𐆄 α , κόψας σήσας χρῶ ἐν τῷ πρώτῳ οἴκῳ τοῦ βαλανείου ἐπιπάττων τῷ βρέγματι ὅσον ἐξαρκεῖ, καὶ ἐπιρραίνων ὕδατος χλιαροῦ καὶ ἐφ’ ἱκανὸν χρόνον διατρίβων ἐν τῷ οἴκῳ, ὥστε διαδοθῆναι τὴν δύναμιν τοῦ φαρμάκου μέχρι τῶν ἐν βάθει. εἶτα σμηξάμενος ἠρέμα τὴν κεφαλὴν καὶ ἀποπλύνων καὶ λουσάμενος μὴ βρέχων τὴν κεφαλὴν ἐν τῷ θερμῷ ἐν τῇ ἐμβάσει, ἐξίτω καὶ βρεχέτω τῷ ψυχρῷ δεύτερον καὶ τρίτον. εἰ δὲ κατὰ θερμὸν ἔχοιεν τὴν κεφαλὴν πάνυ, καὶ πλεονάκις βάπτειν τῷ ψυχρῷ· μετὰ δὲ ταῦτα τῷ διὰ σινάπεως καὶ ἰσχάδων φοινιγμῷ τόνον διδόναι τῇ κεφαλῇ καὶ ἐκ διαστημάτων τινῶν ἀποφλεγματίζειν, καὶ τοῖς ἐρρίνοις κεχρῆσθαι. δίαιταν δὲ θετέον λεπτοτέραν εὐδιοίκητον εὐκοίλιον ἄφυσον κατακεραστικήν, οἴνου δὲ σπάνιος ἡ χρῆσις ἐπὶ τούτων· εἰ δ’ ἐγκατάλειμμα εἴη τῆς διαθέσεως ἐπὶ τὸν λευκὸν ἐλλέβορον ἐλθέ· ὁ δὲ τρόπος τῆς χρήσεως προείρηται ἐν τῷ περὶ καθαρτηρίων λόγῳ. ἀπέχεσθαι δὲ τοῦ λοιποῦ παραινεῖν πάντων τῶν χολὴν γεννώντων ἐδεσμάτων τε καὶ πομάτων καὶ ἐπιτηδευμάτων. φλεβοτομείσθωσαν δὲ καθ’ ἕκαστον ἔαρ προφυλακῆς χάριν, ἔπειτα καὶ καθαιρέσθωσαν καὶ μάλιστα εἰ πλεονάζοι μᾶλλον ἡ χολή· ταῖς δὲ γυναιξὶ καὶ καταμήνια παρασκευάζειν κατὰ τὸν εἰωθότα καιρὸν ἀπαραποδίστως κενοῦσθαι καὶ τοῖς ἄλλοις τὰς συνήθεις ἐκκρίσεις. Περὶ μελαγχολίας ἐκ τῶν Γαληνοῦ καὶ Ῥούφου καὶ Ποσειδωνίου.

9 ὥσπερ ἐν τοῖς φαινομένοις μέρεσι τοῦ σώματος ἐνίοτε μὲν ἅπασιν ἡ αὐτὴ φαίνεται κρᾶσις, ὡς ἐν καχέκταις τε καὶ κατὰ τὸν καλούμενον ἐλέφαντα καὶ τοὺς ὑδέρους, ἐνίοτε δ’ ἕν τι μόριον ἤτοι πικρόχολον ἢ μελαγχολικὸν ἢ φλεγματικὸν ὑποδεχόμενον χυμὸν αὐτὸ μόνον ἐξαλλάττεται τὴν κρᾶσιν, οὕτως ἐγχωρεῖ καὶ τὸν ἐγκέφαλον ἐνίοτε μὲν παντὸς τοῦ κατὰ τὰς φλέβας αἵματος μελαγχολικοῦ γεναμένου τῷ κοινῷ λόγῳ τῆς βλάβης καὶ τὸν ἐγκέφαλον βλαβῆναι, καθ’ ἕτερον δὲ τρόπον καὶ καιρὸν ἀπαθοῦς διαμένοντος τοῦ καθ’ ὅλον τὸν ἄνθρωπον αἵματος ἀλλοιωθῆναι τὸ κατὰ μόνον τὸν ἐγκέφαλον. καὶ συμβαίνει τοῦτο διττῶς, ἢ ῥυέντος εἰς αὐτὸν ἑτέρωθεν, ἢ γεννηθέντος ἐν τῷ τόπῳ τοῦ μελαγχολικοῦ χυμοῦ. γεννᾶται δὲ ὑπὸ θερμασίας πολλῆς ἐγχωρίου κατοπτώσης ἤτοι τὴν ξανθὴν χολὴν ἢ τὸ παχύτερόν τε καὶ μελάντερον αἷμα. ὡς ἐπίπαν δὲ τὰ κατὰ τὰ ὑποχόνδρια μέρη πρωτοπαθοῦντα εἰς συμπάθειαν

ἄγει τὴν κεφαλὴν καὶ τὴν παραφροσύνην ἐργάζεται, ἤτοι αὐτῆς τῆς χολῆς καταλαβούσης τὸν ἐγκέφαλον, ἤ τινος ἀναθυμιάσεως ἀτμοῦ μελαγχολικοῦ καθάπερ ἐν τῷ νοσήματι τῷ φυσώδει καὶ ἐν τῷ ὑποχονδριακῷ προσαγορευομένῳ. οὐδὲν γὰρ παρεμποδὼν γίγνεται τῷ λόγῳ ἑτέρωθεν ἐξ ἄλλου τε μορίου εἶναι τὴν ἀρχὴν καὶ γένεσιν τοῦ πάθους. ῥᾳδίως γὰρ τὸ στόμα τῆς γαστρὸς ὁτιοῦν πάσχον εἰς συμπάθειαν ἄγει τὸν ἐγκέφαλον τῇ συγγενείᾳ διὰ τῶν καθηκόντων εἰς αὐτὸν ἄνωθεν μεγίστων δύο νεύρων· εἰς συμπάθειαν δὲ ἄγει καὶ τὴν καρδίαν τῇ γειτνιάσει, ὁμοίως δὲ καὶ τὸ διάφραγμα, ᾧ καὶ συμπέφυκε. κοινωνία δ’ ἐστὶ τῷ στομάχῳ καὶ πρὸς τὸν νωτιαῖον, καθ’ ὃ μέρος καὶ σύγκειται καὶ συνδέδεται τοῖς τοῦ τραχήλου σπονδύλοις. ἀρχὴ τοίνυν τῆς τοιαύτης μελαγχολίας ὡς ἐπίπαν ἐξ ἀπεψιῶν γίγνεται· φῦσαι γὰρ αὐγοῖς ἐπιγίγνονται πολλαὶ καὶ ἐπὶ τῷ τυχόντι σιτίῳ μετέωροι καὶ περὶ τὰ ὑποχόνδρια ἐπὶ πολὺ διατρίβουσιν, ἐρυγαί τε ὀξώδεις καὶ βρομώδεις καὶ οἷον ἰχθυώδεις αὐτοῖς ἐπιγίγνονται, μηδενὸς τοιούτου ἐδηδεσμένου· ξηραὶ ὡς ἐπίπαν αὐτοῖς αἱ κοιλίαι, ὕπνοι μικροὶ διεσπασμένοι, ἐνύπνια ταραχώδη καὶ ἀλλόκοτα, παλμοὶ ἄλλοτε ἀλλαχοῦ ἄλλοι τοῦ σώματος, ἴλιγγοι τῆς κεφαλῆς καὶ πνευμάτων ἦχοι κατὰ τὰ ὦτα. δοκεῖ δὲ τοῖς μὲν αὐτῶν μεστὴ καὶ βαρεῖα εἶναι ἡ κεφαλή, τοῖς δὲ κενὴ ἢ κούφη, τοῖς δὲ ξηρά. ὁ δέ τις οὐδὲ κεφαλὴν ἔχειν τὸ παράπαν ᾤετο, πρὸς ὃν ἐξευρεῖν ὁ Φιλότιμος λέγεται πρὸς τῇ ἄλλῃ θεραπείᾳ τὸν πῖλον τὸν μολύβδινον, ὑφ’ οὗ βαρυνόμενος συνίει τῆς κεφαλῆς. γίγνονται δὲ οἱ πολλοὶ τῶν μελαγχολικῶν καὶ ἀκόλαστοι πρὸς ἀφροδίσια, γίγνονται καὶ τὴν γνώμην ἐπίλυποι καὶ δειλοὶ καὶ ἐλεήμονες καὶ δακρυτικοὶ καὶ διώκουσι τὰ ἔρημα. τινὲς δὲ καὶ δαίμονας ἀπὸ γοητειῶν τῶν ἐχθρῶν ἐπῆχθαι αὐτοῖς ὑπολαμβάνουσιν, ἕτεροι δὲ δηλητήριον φάρμακον εἰληφέναι ὑποπτεύουσι καὶ βεβαίαν αὐτῶν τὴν ὑποψίαν ἐργάζονται αἱ συνεδρεύουσαι αὐτοῖς βρομώδεις καὶ ἀλλόκοτοι ἐρυγαί. δοκεῖ δὲ ἄλλα ἄλλοις καί ἐστιν ἡ νόσος παντοδαπὴς καὶ οὐκ εὐαρίθμητος, οἷον αὐτίκα περὶ τοὺς φόβους καὶ ὁ μὲν δέδοικε τοὺς φιλτάτους, ὁ δὲ ὅλους τοὺς ἀνθρώπους, καὶ ὁ μὲν δέδοικεν εἰς φῶς ἰέναι, τὰ δὲ σκοτεινὰ διώκει, ὁ δὲ φεύγει τὰ ζοφώδη, οἱ πλείους μέντοι ἐν σκοτεινοῖς τόποις χαίρουσι διατρίβειν καὶ ἐν μνήμασι καὶ ἐν ἐρήμοις. ἔνιοι δὲ καὶ τὸ ὕδωρ δεδοίκασι καὶ οἶνον καὶ ἔλαιον καὶ πᾶν ὑγρὸν ὁτιοῦν, ὥσπερ οἱ δηχθέντες ὑπὸ λυττῶντος κυνὸς καὶ συντόμως εἰπεῖν αἱ μελαγχολικαὶ παράνοιαι πολυειδεῖς μέν εἰσι ταῖς κατὰ μέρους ὑπούλοις φαντασίαις· ἐν δ’ αὐταῖς ἁπάσαις ὑπάρχει κοινὸν ὁ φόβος καὶ ἡ δυσθυμία. [45]

9 (50) δυσθυμοῦσι μὲν γὰρ ἅπαντες ἀλόγως, οὐδ’ ἂν ἐρωτήσῃς ἔχοντες εἰπεῖν ἐφ’ ὅτῳ λυποῦνται· δεδίασι δὲ ἐξ αὐτῶν οὐκ ὀλίγοι θάνατόν τε καὶ ἕτερά τινα μηδενὸς ἄξια δείματος· εἰσὶ δ’ οἳ καὶ σφοδρῶς ἐπιθυμοῦσι τὸν θάνατον. Γαληνοῦ. τὸ μὲν οὖν ἐπὶ μελαίνῃ χολῇ καταλαβούσῃ τὰς ἀρχὰς τῆς λογικῆς ψυχῆς φόβους τε γίγνεσθαι καὶ δυσθυμίας καὶ θανάτου προσδοκίας οὐδὲν θαυμαστόν· ὁρῶμεν γὰρ καὶ τῶν ἔξωθεν τοῦ σώματος οὐδὲν οὕτως ἡμῖν φοβερὸν ὡς τὸ σκότος. ὅταν οὖν οἷον ζόφος τις περισχεθῇ τὸ λογικὸν μόριον ὃ τῆς ψυχῆς, ἀναγκαῖον ἀεὶ φοβεῖσθαι τὸν ἄνθρωπον, ὡς ἂν τὴν αἰτίαν τοῦ φόβου συμπεριφέροντα τῷ σώματι· ὡς γὰρ ἐν σκότῳ βαθεῖ τὰ παιδία φοβεῖται καὶ τῶν τελείων οἱ ἀπαίδευτοι, οὕτως καὶ τῆς μελαίνης χολῆς τὸ χρῶμα παραπλησίως σκότῳ τὸν φρονοῦντα τόπον ἐπισκιάζον ἐργάζεται τοὺς φόβους. Πάντων μὲν οὖν τῶν παρεπομένων ἑκάστῳ συμπτωμάτων τὰς αἰτίας εἰπεῖν ἀδύνατον· ἀπορίαν γὰρ πολλὴν ἔχει τὰ πλεῖστα, οἷον διὰ τί τὰ μὲν φεύγουσιν ὡς δεινὰ μὴ ὄντα δεινά, τὰ δὲ διώκουσιν ὡς χρηστὰ μὴ ὄντα χρηστά, καὶ διὰ τί ὁ μὲν τοὺς οἰκείους φοβεῖται, ὁ δὲ ὅλους ἀνθρώπους καὶ τὰ τοιαῦτα. τῶν πλείστων δὲ συμπτωμάτων εἰπεῖν τὰς αἰτίας τὸν ἰατρὸν οὐ χαλεπόν, οἷον ὁ δοκῶν ἑαυτὸν κέραμον εἶναι, διὰ τὴν ξηρότητα τοῦτο πάσχει· ψυχρὸς γὰρ καὶ ξηρὸς ὁ μελαγχολικὸς χυμός. ὁμοίως δὲ καὶ ὁ τὸ ἑαυτοῦ δέρμα δοκῶν εἶναι ταῖς ξηραῖς διφθέραις ὅμοιον. ὁ δὲ οἰόμενος μὴ ἔχειν κεφαλὴν ἴσως διὰ κουφότητα τῆς κεφαλῆς τοῦτο ᾤετο, τὴν δὲ κουφότητα τὸ ἀναφερόμενον πνεῦμα παρεῖχεν αὐτῇ. διὰ τί δὲ ὀρέγονται οἱ μελαγχολικοὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πλειόνων σιτίων, ἢ ὅτι ψύχεται αὐτοῖς τὸ στόμα τῆς γαστρός; διὰ τί δὲ ἔνιοι αὐτῶν οἰνοπόται, ἢ ὅτι ψυχρὸν ὂν θερμανθῆναι χρῄζει; διὰ τί δὲ ἀποκτενοῦσι σφᾶς αὐτῶν, ἢ ὅτι μειζόνων κακῶν ὑπολαμβάνουσιν ἀπαλλάττεσθαι; εἰ μὴ ἄρα δόξα τοιαύτη ὑπογίγνεται αὐτοῖς, ἢ ὅτι τὸ ἀποθνήσκειν ἐστὶ καλόν, ὥσπερ τῶν βαρβάρων ἐνίοις; διὰ τί δὲ ἀπεψίαι συνεχεῖς αὐτοῖς γίγνονται, ἢ ὅτι θολερὸν καὶ περιττωμάτων μεστόν ἐστιν αὐτῶν τὸ σῶμα καὶ διὰ τοῦτο καὶ δύσκρατος ἡ γαστὴρ ψυχομένη διὰ παντὸς ἐκ τοῦ μελαγχολικοῦ χυμοῦ; διὰ τί δὲ αἱ κοιλίαι ὡς ἐπίπαν αὐτοῖς ξηραίνονται, ἢ ὅτι τὸ πνεῦμα τοῖς ἄνω περὶ τὰ ὑποχόνδρια προίσταται καὶ οὐ πάνυ κάτω διαχωρεῖ; ἀνάγκη τοίνυν δι' αὐτὸ τοῦτο καὶ τὰς γαστέρας εἶναι ξηράς· ἐκ δὲ πολλῆς τῆς ἐπισχέσεως ἀθρόα ποτὲ καὶ περιτετηκότα διαχωροῦσι. σκαρδαμυκταὶ δὲ καὶ ἐξόφθαλμοι καὶ παχύχειλοι ὡς ἐπίπαν γίγνονται διὰ τὸ παχὺ πνεῦμα, μελανόχροες δὲ διὰ τὴν φύσιν τοῦ χυμοῦ. δασεῖς δὲ οἱ πλείους αὐτῶν διὰ τὸ πλῆθος τῶν παχέων περιττωμάτων, ταχύγλωσσοι δ' ὡς ἐπίπαν εἰσὶ καὶ τραυλοὶ καὶ ἰσχνόφωνοι τῷ ἀκρατεῖ τῆς γλώττης. αἱ γὰρ συντονίαι τῆς κινήσεως κατὰ τὸ πνεῦμα γίγνονται· πᾶν δὲ τὸ συντόνως κινηθὲν ἀπορρεῖ ταχέως. εὐπετὲς μὲν τῷ βουλομένῳ καὶ τῶν λοιπῶν συμπτωμάτων ἀποδοῦναι τὰς αἰτίας ἐκ τούτων ὁρμωμένῳ. μελαίνεται δὲ ὁ χυμὸς οὗτος ποτὲ μὲν ὑπερθερμαινόμενος, ποτὲ δὲ ὑπερψυχόμενος· οἷον γάρ τι πάσχουσι οἱ καιόμενοι ἄνθρακες, διαυγέστατοι μὲν ὄντες τῇ φλογί, σβεννυμένης δὲ τῆς φλογὸς ἀπομελαίνονται, τοιοῦτόν τι καὶ ἡ ψῦξις περὶ τὸ φαιδρὸν χρῶμα τοῦ αἵματος ἐργάζεται. ὁρῶμεν γὰρ κἀπὶ τῶν ἐκτὸς πελιδνὰ γιγνόμενά τινα τῶν σωμάτων καὶ μελαινόμενα ὑπὸ ψύξεως. [95]

9 (100) ἡ δὲ ὑπερβολὴ τοῦ θερμοῦ πάλιν ξηράνασα καὶ δαπανήσασα τὰς ὑγρότητας, ὑφ' ὧν τρέφεται τὸ θερμόν, μελαίνει τοὺς χυμούς, ὥσπερ καὶ ὁ ἥλιος τοὺς καρποὺς καὶ τὰ τῶν ἀνθρώπων σώματα. γινώσκειν τοίνυν χρὴ ὡς διττὸν τὸ εἶδος τῆς μελαγχολίας. τινὲς μὲν γὰρ αὐτῶν ἐκ φύσεως καὶ τῆς ἐξ ἀρχῆς κράσεως ἔχουσι τὸ μελαγχολικόν, τινὲς δὲ ἐκ διαίτης φαύλης εἰς ὕστερον τὴν κρᾶσιν ταύτην ἐπεκτήσαντο. καί ἐστι τὸ εἶδος τοῦτο νωθρὸν καὶ κατηφὲς ἀεί. ὅτι δὲ ἐξ ὑπεροπτήσεως τῆς ξανθῆς χολῆς τῇ παραφροσύνῃ περιπίπτουσι, θρασύτεροι καὶ ὀργιλώτεροι τῶν ἄλλων εἰσὶ καὶ πλῆκται καὶ τὰ πάνδεινα πράττοντες κατὰ τὸν καιρὸν ἐκεῖνον μάλιστα, ἐν ᾧ ὑπεροπτᾶται ἡ χολή· τῷ χρόνῳ δὲ ὅταν καὶ αὐτὴ ἀποσβεσθῇ, κατηφεῖς καὶ ἐπίλυποι καὶ ἐπίφοβοι γίγνονται. τὰ μὲν οὖν πρὸ τῆς θεραπείας εἰς τοσοῦτον διεγνωκέναι χρὴ τὸν ἰατρόν· ἃ δ' ἄν τις μαθὼν ἔχοι βοηθεῖν τοῖς οὕτω νοσοῦσιν, ἤδη καιρὸς ἐκτίθεσθαι. διαφέρει δὲ εἰς τὴν θεραπείαν οὐ σμικρὰ τὸ εἰδέναι ὅθεν τὴν ἀρχὴν ἔσχε τὸ νόσημα. Γαληνοῦ. ὅταν μὲν γὰρ ὅλον τὸ σῶμα μελαγχολικὸν ἔχῃ τὸ αἷμα, τὴν ἀρχὴν τῆς θεραπείας ἀπὸ φλεβοτομίας ποιεῖσθαι προσῆκον· ὅταν δὲ τὰ κατὰ μόνον τὸν ἐγκέφαλον οὐ χρῄζει φλεβοτομίας ὁ κάμνων, εἰ μήτι γε πολύαιμος εἴη καὶ χάριν προφυλακῆς τὴν ἀφαίρεσιν ποιούμεθα. ἡ δ' οὖν διάγνωσις ἀπὸ τῶνδέ σοι γιγνέσθω, πότερον ὅλον τὸ σῶμα μελαγχολικὸν ἔχει τὸ αἷμα ἢ κατὰ τὸν ἐγκέφαλον μόνον ἤθροισταί τις τοιοῦτος. οἱ 〈μὲν〉 μελάντεροι καὶ δασεῖς καὶ φλέβας εὐρείας ἔχοντες ἐπιτηδειότατοι πρὸς τὴν τοῦ μελαγχολικοῦ χυμοῦ γένεσιν, ἔσθ' ὅτε δὲ καὶ οἱ ἐξέρυθροι τὴν χρόαν ἄνθρωποι μεταπίπτουσιν ἀθρόως εἰς τὴν μελαγχολικὴν κρᾶσιν· ἐφεξῆς δὲ αὐτῶν οἱ ξανθοὶ καὶ μάλισθ' ὅταν ἀγρυπνίαις καὶ πόνοις πλείοσι καὶ φροντίσι καὶ λεπτῇ διαίτῃ ἢ μελαγχολικοῖς ἐδέσμασι διῃτημένοι τύχωσιν ὄντες· πρὸς τούτοις εἰ ἐπέσχηταί τις αἱμορροῒς ἐν ἕδρᾳ ἢ ἄλλη τις συνήθης κένωσις αἵματος ἢ καταμήνια ταῖς γυναιξίν. οὐ μικρὰ δὲ συντελεῖ καὶ ἡ ὥρα τοῦ ἔτους καὶ ἡ κατάστασις τοῦ ἀέρος καὶ τὸ χωρίον ἥ τε τοῦ κάμνοντος ἡλικία καὶ τὸ ἐπιτήδευμα. ταῦτα δὲ πάντα προσδιασκεψάμενος, ὅταν ἐλπίσῃς ἐν ταῖς καθ' ὅλον τὸ σῶμα φλεψὶ μελαγχολικὸν αἷμα περιέχεσθαι, τὴν βεβαιοτάτην ἐπάγειν διάγνωσιν ἐκ τοῦ τεμεῖν τὴν κατ' ἀγκῶνα φλέβα· βέλτιον δὲ τὴν μέσην τέμνειν· εἶτα εἰ μὴ φαίνοιτο μελαγχολικὸν εἶναι τὸ ῥέον αἷμα, ἐπίσχειν εὐθέως· εἰ δὲ τοιοῦτον φαίνοιτο, κένωσον ὅσον ἂν ὑπολάβοις ἄνταρκες

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔσεσθαι τῇ τοῦ κάμνοντος σώματος ἕξει. ἡ δὲ τρίτη διαφορὰ τῆς μελαγχολίας, ἧς τὴν ἀρχὴν ἀπὸ τῆς κοιλίας ἴσχειν ἐλέγομεν, ὑποχονδριακὸν πάθος ὀνομαζομένη, διαγιγνώσκεται ἐκ τῶν προειρημένων πολλάκις. πρῶτον γὰρ ἄρχεται τὰ κατὰ τὴν γαστέρα συμπτώματα, οἷον ἐμπνευματώσεις βορβορυγμοὶ ἐρυγαὶ[ ὀρέξεις] ὀξώδεις καὶ βρομώδεις καὶ τὸ ἐπιξηραίνεσθαι τὴν γαστέρα καὶ τὸ ἐπὶ ταῖς διαχωρήσεσι καὶ τοῖς ἐμέτοις καὶ ταῖς ἐρυγαῖς ἐπικουφίζεσθαι καὶ τὸ τοὺς κάμνοντας αὐτοὺς συναισθάνεσθαι τῶν ὀχληρῶν πάντων περὶ τὰ ὑποχόνδρια συνεδρευόντων. ὥσπερ οὖν τισι πολλάκις ἀναφερομένης ἐκ τῆς γαστρὸς αἰθαλώδους τινὸς ἢ καπνώδους ἀναθυμιάσεως ἢ ὅλως ἀτμῶν τινων παχέων, ὅμοια τοῖς τῶν ὑποχεομένων δοκεῖ φαίνεσθαι πρὸ τῶν ὀφθαλμῶν, κατὰ τὸν αὐτὸν λόγον καὶ νῦν, ἐπὶ τὸν ἐγκέφαλον ἀναφερομένης τῆς μελαγχολικῆς ἀναθυμιάσεως, οἷον αἰθάλη ἢ καπνὸς τὰ μελαγχολικὰ γενήσεται περὶ τὴν διάνοιαν συμπτώματα. ὅταν μὲν οὖν τὰ τῆς μελαγχολικῆς παρανοίας ἴδια σημεῖα φαίνηται μεγάλα, κατὰ δὲ τὴν κοιλίαν ἤτοι μηδὲν ὀχλεῖν ἢ σμικρότατον τοῦτο εἴη, τὸν ἐγκέφαλον ἡγητέον ἐπὶ τούτων πρωτοπαθεῖν, καθὼς προείρηται. [145]

10 Θεραπεία μελαγχολικῶν Γαληνοῦ. τὴν μὲν οὖν ἐξ ἐγκεφάλου πρωτοπαθοῦντος συνισταμένην μελαγχολίαν διά τε λουτρῶν συνεχῶν καὶ διαίτης εὐχύμου τε καὶ ὑγρᾶς καὶ ἀφύσου ἐκθεραπεύειν χωρὶς ἑτέρου δραστικοῦ βοηθήματος, ὅταν γε μήπω διὰ χρόνου μῆκος δυσκένωτος ᾖ ὁ λυπῶν χυμός, ἡνίκα ποικιλωτέρας καὶ ἰσχυροτέρας προσάγειν χρὴ τὰς ἰάσεις. ἀρχόμενον δὲ τὸ πάθος θεραπεύειν προσήκει. χρονίσαν γὰρ καὶ αὐξηθὲν δυσμεταχείριστον γίνεται. Ῥούφου. κοινὰ δέ ἐστι, κἂν ὁ ἐγκέφαλος πρωτοπαθῇ κἂν τὰ ὑποχόνδρια, τὰ ὑπακτικὰ τῆς γαστρὸς βοηθήματα. πρῶτον μὲν οὖν εὐπεψίας φροντίδα τίθεσθαι χρή, ἔπειτα δὲ καθαίρειν πρῶτον μὲν ἐπιθύμῳ καὶ ἀλόῃ. τούτων γὰρ εἰ καὶ ὀλίγον ἐφ’ ἑκάστης ἡμέρας λαμβάνοι, ὠφελεῖται τὰ μέτρια καὶ ἡσυχῇ ὑπάγειν. Ποσειδωνίου. ἐφ’ ὧν δὲ αἷμα πλεονάζειν φαίνοιτο, εὐθὺς ἐξ ἀρχῆς φλέβα τέμνειν προσήκει τὴν ἐν ἀγκῶνι καὶ μάλιστα ἐφ’ ὧν συνήθεις ἐκκρίσεις εἰσὶ τοῦ αἵματος ἐπεσχημέναι. ἐπὶ δὲ γυναικῶν, αἷς ἐκλείπει τὰ καταμήνια, τὴν ἐν τῷ σφυρῷ φλέβα τέμνειν χρή, κενοῦν δ’ ἕκαστον πρὸς δύναμιν· ἐφ’ ὧν δὲ ἡ κακοχυμία μᾶλλον πλεονεκτεῖ, προδιαιτήσας τὸν πάσχοντα κάθαιρε τῇ ἱερᾷ Ῥούφου ἢ Ἀρχιγένους ἢ Ἰούστου. εἰ δ’ ἄμφω πλεονάζοι, προφλεβοτομήσας κάθαιρε. μετὰ δὲ ταῦτα διαλιπὼν ἡμέρας τινὰς κλυστῆρσι τὴν κοιλίαν κενοῦν, πρῶτον μὲν διὰ χυλῶν πιτύρων καὶ κενταυρίου τοῦ μικροῦ καὶ ἀφρονίτρου καὶ μέλιτος, μετέπειτα δὲ καὶ πολυποδίου ῥίζας τεθλασμένας συνέψειν τοῖς πιτύροις καὶ ἐπίθυμον. μετὰ δὲ τρεῖς ἡμέρας τοῦ κλυστῆρος δοτέον αὐτοῖς τὴν δι’ ἀλόης πικρὰν προσειληφυῖαν πρὸς τοῖς ἄλλοις πᾶσι καὶ ἐπιθύμου. σκευάζειν δὲ αὐτὴν ὡς Θεμίσων βούλεται· ἀλόης μὲν βαλὼν < ρ μαστίχης δὲ καὶ κρόκου καὶ ναρδοστάχυος κινναμώμου τε ἢ κασσίας τὸ διπλοῦν ἀσάρου καὶ καρποβαλσάμου ἑκάστου ἀνὰ ℥ α . προστιθέναι δὲ τούτοις καὶ ἐπιθύμου ℥ β καὶ σχοίνου ἄνθους ℥ α καὶ διδόναι κοχλιαρίου μεγάλου τὸ πλῆθος μετὰ μελικράτου. δοτέον δὲ αὐτοῖς ἐκ διαστημάτων ὀλίγων δεύτερον ἢ τρίτον, εἶτα πάλιν διαιτήσας καὶ ἀναλαβὼν τὰς δυνάμεις δίδου πάλιν τὴν ἱερὰν Ῥούφου ἢ Ἀρχιγένους ἢ Ἰούστου. πλῆθος δὲ ἔστω τὸ ξηρίον διδόμενον ὡς < δ μετὰ μελικράτου καὶ ἁλῶν ὅσον κοχλιάριον· βέλτιον δὲ καὶ τοῖς ἐφ’ ἡμέραν κενοῦσι πρᾴως ὑπάγειν τὴν γαστέρα· μελάνων δὲ ἀγωγά ἐστιν ἀμάρακον καὶ ἡ κονίλη λεγομένη διδόμενα ὅσον < β ἐπιπασσόμεναι μελικράτῳ καὶ πινόμεναι· συμφέρει δὲ καὶ τῷ ὀρρῷ τοῦ γάλακτος ὑπάγειν τὴν κοιλίαν, ἀλλὰ μὴ ἀπὸ τῶν τυρῶν δοτέον τὸν ὀρρόν· ἄμεινον γὰρ τὸ ἐκ τοῦ ἑψημένου γάλακτος ἀποχωριζόμενον· μᾶλλον δὲ ἵππειον ἔστω τὸ γάλα, εἰ δὲ μή, βόειον. ἐμβλητέον δὲ τὸ γάλα ἐν καινῇ χύτρᾳ κινοῦντα κλάδῳ συκῆς. ὅταν δὲ ἀναζέσῃ τρὶς ἢ τετράκις καταρραίνειν ὀξυμέλιτι, εἶτα διηθήσας δίδου πίνειν τὰ μὲν πρῶτα μέλι προσμίσγων· ὅταν δὲ ἄρξηται ὑπέρχεσθαι ἡ γαστὴρ μηκέτι βάλλειν τὸ μέλι. λαμβάνεται δὲ κατὰ κοτύλην μὴ ἔλαττον τῶν πέντε κοτυλῶν. χρῆσθαι δὲ ἐπὶ πάσῃ κενώσει μαλάχης σπέρματι ἢ τῆς ἡμέρας ἢ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῆς ἀγρίας λειοτάτης διδόντα ὅσον < β μεθ’ ὕδατος κυάθων τριῶν· ἄκρως γὰρ ποιεῖ, ὅθεν πολλάκις αὐτῷ χρηστέον. κράτιστον δὲ καὶ γλήχωνος ἀφεψήματος πίνειν συνεχῶς καὶ πρὸ τῶν καθαρτικῶν καὶ μετὰ καθαρτικὰ καὶ τοῦ μικροῦ κενταυρίου ὁμοίως. τοῦ δὲ ἀψινθίου τὸ ἀφέψημα καὶ συνεχῶς καὶ ἐφεξῆς δίδου· στομάχῳ γὰρ καὶ γαστρὶ κατάλληλον ἐπὶ τούτων καὶ οὔτε φῦσαν συγχωρεῖ ἐγγίγνεσθαι τῇ γαστρὶ πολλὴν οὔτε εἰς τέλος ἀποξηραίνεσθαι τὴν διαχώρησιν καὶ οὔρησιν κινεῖ καὶ πέττειν ἀκριβέστερον παρασκευάζει, ὥστε ἐγὼ καὶ μόνῳ τούτῳ τινὰς οἶδα ἀπηλλαγμένους τῆς νόσου. [45]

10 (50) διδόναι δὲ καὶ τῶν διουρητικῶν ἀνίσου δαύκου πετροσελίνου ἀσάρου καὶ νάρδου καὶ μᾶλλον τούτων τὸ τοῦ ἱππομαράθου σπέρμα καὶ τὴν ῥίζαν. τὴν δὲ χαμαιπίτυν καὶ τὴν χαμαίδρυν προθυμότερον λαμβάνειν, ἕκαστον τούτων ἕψοντα σὺν ὕδατι ἢ ξηρὸν λεῖον ἐπιπάσσοντα τῷ ποτῷ. ἀγαθαὶ δὲ καὶ αἱ διὰ τῶν ἱδρώτων καθάρσεις διά τε πόνων καὶ λουτρῶν γιγνόμεναι καὶ χρίσμασιν ἐν ἡλίῳ, οἷον τό τε διὰ τοῦ χαμαιμήλου ἔλαιον καὶ νίτρον σὺν ἐλαίῳ. καὶ ὅταν ἐπιδιδῷ ἡ ἕξις, πάλιν καθαίρειν τῇ ἱερᾷ· προσήκει δὲ μηδὲ τῶν ὑποχονδρίων ἀμελεῖν ἀρχόμενον τῆς θεραπείας καὶ μάλιστα προεληλυθότα. πυρίαι μὲν οὖν ἁρμόδιοι δι’ ἐλαίου ἐναφεψημένων αὐτῷ πηγάνου κυμίνου ἀνήθου ἑρπύλλου ἀψινθίου ἀρτεμισίας γλήχωνος ἄγνου σπέρματος δάφνης τοῦ καρποῦ ἢ τῶν φύλλων ἁπαλῶν· ταῦτα γὰρ καὶ τοὺς πόνους παρηγορεῖ καὶ τὰς φύσας μειοῖ. ἐπὶ δὲ τῶν μετὰ δήξεως τοῦ στομάχου ἐκπνευματώσεων ὄξει ἀφεψήσαντες κύμινον καὶ γλήχωνα σπόγγοις πυριᾶν τὸν στόμαχον, ἐνίοτε δὲ καὶ στυπτηρίαν ἐπιπάσσομεν τῷ ὄξει καὶ θερμαίνοντες πυριᾶν τὸν στόμαχον. τὰ δὲ καταπλάσματα ἐχέτω προαπεζεσμένον ἐν τῷ ἐλαίῳ ἢ ἄνισον ἢ σελινόκοκκον ἢ κύμινον καὶ κύπερον λειοτάτην καὶ ἶριν καὶ λιβανωτίδα ἐμβάλλων τῷ καταπλάσματι. συγχωρεῖν δὲ ἐπιπολὺ προσκεῖσθαι καὶ ἀσίτῳ καὶ τραφέντι. ἀφαιρεθέντος δὲ τοῦ καταπλάσματος σκέπειν τὰ ὑποχόνδρια ἢ ἐρίῳ πλατυτάτῳ ἢ κουφοτάτῃ καὶ καθαρᾷ ἀρνακίδι προυποχρίων τοὺς τόπους ναρδίνῳ· χρήσαιο δ’ ἂν καὶ σικυῶν προσθέσει, πρὸς μὲν τὰ ἀφλέγμαντα κούφαις, πρὸς δὲ τὰς φλεγμονὰς καὶ σκληρίας μετὰ κατασχασμοῦ μετὰ δὲ ταῦτα ταῖς διὰ κυπρίνου κηρωταῖς χρῆσθαι καὶ τῷ πολυαρχίῳ καὶ τῷ διὰ στύρακος καὶ τῷ διὰ σπερμάτων μάλιστα καὶ τοῖς ὁμοίοις· προιούσης δὲ τῆς θεραπείας καὶ τῷ διὰ τῶν ἰσχάδων καὶ νάπυος φοινιγμῷ χρῆσθαι· πάνυ γὰρ ὀνίνησι· καὶ γὰρ καὶ τὰς πέψεις ἀνακαλεῖται ῥώμην τῇ γαστρὶ ἐντιθεὶς καὶ εἴ τις πόνος ἐγκαταλείπεται τῷ ὑποχονδρίῳ, τοῦτον ἐξαίρει. χρῆσθαι δὲ καὶ τοῖς δριμέσι σμήγμασι κατὰ τῶν ὑποχονδρίων καὶ τῷ τῶν πιττωτῶν φαρμάκῳ, τουτέστι πίσσῃ ξηρὰ τετηκυῖα καθ’ ἑαυτὴν ἢ μετὰ βραχυτάτου ἐλαίου. θερμὴ δὲ ἐμπλάττεται δέρματι καὶ ἐπιτίθεται τῇ γαστρὶ καὶ τῷ μεταφρένῳ καὶ ἐᾶν μέχρις αὐτόματον ἀποπέσῃ, ὥστε καὶ συλλούεσθαι αὐτῷ ἐγχωρεῖ καὶ τὸ κατὰ βραχὺ ἀφιστάμενον ψαλίδι ἀφαιρεῖν. πάνυ δὲ ὠφελοῦνται καταπλασσόμενοι βολβίτοις ἀγελαίας βοὸς ξηροῖς ἐμπασσομένοις ὀξυμέλιτι καὶ βολβοὶ δὲ μετὰ νίτρου ἢ στυπτηρίας λεῖοι καταπλασσόμενοι μεγάλως ὠφελοῦσι. καὶ μιγνύμενον δὲ τοῦτο τοῖς βολβίτοις ὠφέλιμον γίγνεται καὶ μάλιστα ἐπὰν δήξεως αἴσθησις αὐτοῖς περὶ τὸν στόμαχον εἴη. ἐφ’ ὧν δὲ συνεχῶς παλμοὶ τοῦ σώματος ἐνεδρεύουσι, συμφέρει καὶ τοῦ καστορίου πίνειν καὶ χρίειν τὸ στόμα καστορίῳ σὺν ἐλαίῳ καὶ τῷ Σικυωνίῳ. προσήκει δὲ καὶ κινεῖσθαι καὶ γυμνάζεσθαι αὐτοὺς πρὸς δύναμιν πρὸ τῶν σιτίων. λουτρὰ δὲ τῷ μὲν καλῶς πέττοντι οὐ πάνυ ἀναγκαῖα, εἰ μὴ κόπον τινὰ θεραπεῦσαι βουληθείης. ὅστις δὲ οὐκ ἀγαθὴν ἔχει τὴν κοιλίαν εἰς πέψιν, τούτῳ συμφέρει λούεσθαι συνεχέστερον ἢ νήστει ἢ μετὰ τὴν τελείαν πέψιν· μετὰ δὲ τὰ λουτρὰ σιτία διδόναι εὔπεπτα ἄφυσα διαχωρητικὰ ἀκριβῶς κατανοῶν ὅπως ἐφ’ ἑκάστου διατίθεται ὁ πάσχων· οὐ γὰρ πάντες πρὸς ἅπαντα τὰ σιτία ὁμοίως διάκεινται. τὸ δ’ ἐπίπαν ἁρμόδια τούτοις ἄρτων μὲν οἱ κλιβανῖται καλῶς ἐσκευασμένοι, πτηνῶν δὲ τὰ ἀπίμελα καὶ ἄβρομα καὶ ὄρεια, ὠὰ ἀλεκτορίδων ἁπαλά, ἰχθύων οἱ πετραῖοι καὶ οἱ ἁπαλόσαρκοι, ἐχῖνοι δὲ θαλάττιοι πλεῖστον προὔχουσιν εἰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡδονὴν καὶ εἰς ὠφέλειαν· παραιτεῖσθαι δὲ τὰ ἐν ταῖς λίμναις διαιτώμενα πάντα καὶ τὰ ἐν τοῖς ἕλεσι.

10 (100) κρέα δὲ ἁρμόδια ἐρίφεια καὶ γαλαθηνὰ καὶ τούτων αὐτῶν μᾶλλον τὰ ἄκρεα μόρια καὶ κάτεφθα. οὐκ ἀχρεῖον δὲ καὶ μῆτραι καὶ γαστέρες καὶ πόδες ὑῶν. λαχάνων δὲ πρὸς μὲν τὴν κοινὴν δίαιταν τὰ γλυκέα, τὰ δὲ δριμύτερα ὡς φάρμακόν ποτε δοτέον, οἷον ἕλειος ἀσπάραγος πετροσέλινα καὶ τὰ ὅμοια. μέτρια δὲ ἔστω τῷ πλήθει τὰ λαμβανόμενα πάντα. οἶνος δὲ λεπτὸς καὶ λευκὸς καὶ μὴ πάνυ παλαιός. μὴ ἀθρόον δὲ διδόναι ἐπὶ τῇ τροφῇ τὸ ποτόν, μηδὲ πλῆθος ἔστω τὸ πινόμενον, ἵνα μὴ ἐπιπολάζῃ τὰ σιτία· οὐ χεῖρον δὲ πρὸς τὰ παρόντα καὶ ὄξους ἐπιρροφεῖν δριμυτάτου ὅσον κοχλιάριον καθεύδειν μέλλοντα μετὰ πᾶσαν τροφὴν καὶ τὰ πολλὰ τῶν ὄψων εἰς αὐτὸ ἀποβάπτοντα ἐσθίειν. ἄμεινον δὲ μεμῖχθαι τῷ ὄξει σκίλλης βραχὺ καὶ πηγάνου καὶ τῆς λεπτῆς ἀριστολοχίας ἢ τῆς στρογγύλης < α · σὺν οἴνῳ δοτέον. Ποσειδωνίου. ἁρμόδιον δὲ πρὸς τὰς γιγνομένας ἐμπνευματώσεις ὀξυπόριον τοιοῦτον σκευάζειν· Λιβυστικοῦ σελίνου σπέρματος ζιγγιβέρεως θύμου ἀνὰ 𐅻 α μέλιτος ἀπηφρισμένου τὸ ἀρκοῦν· δίδου κοχλιαρίου τὸ ἥμισυ ἕωθεν καὶ ἑσπέρας ὁμοίως· εἰ δὲ ἀποστρέφοιντο τὴν τοῦ μέλιτος γλυκύτητα, ἅλας πεπτικὸν αὐτοῖς σκευάζειν τοιοῦτον· σκίλλης ὀπτῆς 𐅻 α ἁλῶν ἀμμωνιακῶν 𐅻 ε σελίνου σπέρματος μαράθου θύμου πετροσελίνου ἀνίσου σίνωνος ζιγγιβέρεως ἀνὰ < δ ἄρτου καθαροῦ ξηροῦ 𐅻 ε πεπέρεως 𐅻 ας · ἐκ τούτου δίδου ὅσον κοχλιάριον ἐσθίειν σὺν τῇ τροφῇ ἢ ὡς βούλεται. διδόναι δὲ αὐτοῖς χρὴ ἐκ διαστημάτων τινῶν καὶ τῆς θηριακῆς ἀντιδότου καὶ μάλιστα χειμῶνος καὶ ἔαρος ἀρχομένου. Ῥούφου. ἐμείτωσαν δὲ ἐκ μειζόνων διαστημάτων μὴ ἀπὸ σιτίων, ἀλλ’ ἀπὸ ῥαφανίδων νήστεις ἢ ὀριγάνου ἢ θύμου, μὴ μέντοι τοῖς δραστηρίοις ἐμετικοῖς κεχρῆσθαι· βλαβερὰ γὰρ τὰ τοιαῦτα ἐπὶ τούτων ταλαιπωρίαν προστιθέντα τῇ γαστρὶ καὶ τῷ στομάχῳ ἤδη προπεπονηκόσι τῇ νόσῳ. ὁρῶνται γάρ τινες ἐκ τῶν δραστικωτέρων ἐμετικῶν ἁλισκόμενοι τῇ μελαγχολίᾳ. εὖ γε μὴν εἰδέναι χρὴ ὅτι πολλοὶ τῶν οὕτω νοσούντων ἐν μὲν τῷ καιρῷ τῆς θεραπείας οὐδέν τι ὠφελήθησαν, ἀφεθέντες δὲ κατέστησαν τῷ προθεραπεύεσθαι καλῶς ἰσχυσάσης τῆς φύσεως κατὰ τῶν νοσημάτων ἀσθενῶν τῇ βοηθείᾳ γεγενημένων. διόπερ χρὴ ἄνεσιν διδόναι τῇ φύσει. ἔοικε γὰρ συνταλαιπωρεῖσθαι ταῖς θεραπείαις, ἰσχύειν δὲ ἐν τῇ ἀναπαύσει καὶ κρατεῖν τῶν νοσημάτων ἤδη προλεπτυνθέντων. Περὶ λυκανθρωπίας ἤτοι κυνανθρωπίας Μαρκέλλου.

11 οἱ τῇ λεγομένῃ κυνανθρωπίᾳ ἤτοι λυκανθρωπίᾳ νόσῳ κατεχόμενοι κατὰ τὸν Φευρουάριον μῆνα νυκτὸς ἐξίασι τὰ πάντα μιμούμενοι λύκους ἢ κύνας καὶ μέχρις ἡμέρας περὶ τὰ μνήματα μάλιστα διατρίβουσι. γνωρίσεις δὲ τοὺς οὕτω πάσχοντας διὰ τῶνδε· ὠχροὶ τυγχάνουσι καὶ ὁρῶσιν ἀδρανὲς καὶ ξηροὺς τοὺς ὀφθαλμοὺς ἔχουσι καὶ οὐδὲν δακρύουσι. θεάσῃ δὲ αὐτῶν καὶ κοίλους τοὺς ὀφθαλμοὺς καὶ γλῶσσαν ξηρὰν καὶ οὐδὲ ὅλως σίελον προχέουσιν. εἰσὶ δὲ καὶ διψώδεις καὶ τὰς κνήμας ἔχουσιν ἡλκωμένας ἀνιάτως διὰ τὰ συνεχῆ πτώματα καὶ τῶν κυνῶν τὰ δήγματα. τοιαῦτα μὲν αὐτῶν τὰ γνωρίσματα· γινώσκειν δὲ χρὴ μελαγχολίας εἶδος εἶναι τὴν λυκανθρωπίαν, ἣν θεραπεύσεις κατὰ τὸν χρόνον τῆς ἐπισημασίας τέμνων φλέβα καὶ κενῶν τοῦ αἵματος ἄχρι λειποθυμίας καὶ διαιτῶν τὸν κάμνοντα ταῖς εὐχύμοις τροφαῖς. κεχρήσθω δὲ λουτροῖς γλυκέσιν, εἶτα ὀρρῷ γάλακτος χρησάμενος ἐπὶ τρεῖς ἡμέρας κάθαιρε τῇ διὰ τῆς κολυκυνθίδος ἱερᾷ Ῥούφου ἢ Ἀρχιγένους ἢ Ἰούστου, δεύτερον καὶ τρίτον παρέχων ἐκ διαστημάτων. μετὰ δὲ τὰς καθάρσεις καὶ τῇ διὰ τῶν ἐχιδνῶν θηριακῇ χρηστέον. καὶ τὰ ἄλλα παραληπτέον ὅσα ἐπὶ τῆς μελαγχολίας προείρηται. εἰς ἑσπέραν δὲ ἐπερχομένης ἤδη τῆς νόσου τοῖς ὕπνον εἰωθόσιν ἐμποιεῖν ἐπιβρέγμασι τῆς κεφαλῆς χρῆσθαι καὶ ὀσφραντοῖς τοιούτοις καὶ ὀπίῳ διαχρίειν τοὺς μυκτῆρας, ἐνίοτε δὲ καὶ ποτίζειν τινὰ τῶν ὑπνωτικῶν. Περὶ ἐφιάλτου Ποσειδωνίου.

12

οὔκ ἐστιν ὁ καλούμενος ἐφιάλτης δαίμων, ἀλλὰ μελέτη καὶ προοίμια ἐπιληψίας ἢ μανίας ἢ ἀποπληξίας· καὶ γὰρ ἀπεψίαι ἐξ ἀδηφαγιῶν προηγοῦνται τοῦ πάθους. ἀτμῶν γὰρ παχέων καὶ ψυχρῶν πληρούμεναι αἱ κοιλίαι τοῦ ἐγκεφάλου κωλύουσι τὰς δυνάμεις διὰ τῶν νεύρων ἐξιέναι καὶ δυσδιέγερτον τὸ νόσημα κατασκευάζουσι καὶ μόλις εἰς ἐνέργειαν ὀρθὴν ἀγόμενον· ὅθεν καὶ ἀκίνητοι παντάπασι μένουσιν οἱ τοιοῦτοι· προηγεῖται γὰρ τοῦ ἐφιάλτου πνὶξ καὶ ἀφωνία καὶ βάρος καὶ ἀκινησία. τῇ δὲ πολλῇ ἀγωνίᾳ λεπτυνομένου τοῦ πνεύματος καὶ διαφορουμένου καὶ ἐκφραττομένων τῶν πόρων διεγείρονται αἰφνίδιον. φυλακτέον οὖν τὸ δεινὸν ἀρχόμενον· χρονίσαν γὰρ καὶ συνεχῶς ἐπιπῖπτόν τινα τῶν προρρηθέντων νοσημάτων ἐπιφέρει, ἀθροιζομένου κατὰ βραχὺ ἐν ταῖς κοιλίαις τοῦ ἐγκεφάλου παχέος χυμοῦ. ὅσα γὰρ οἱ ἐπίληπτοι ἐπὶ τοῖς παροξυσμοῖς πάσχουσι, ταῦτα οἱ ἐφιαλτικοὶ καθεύδοντες. εἰ μὲν οὖν αἷμα πλεονάζοι, τέμνειν χρὴ τὴν ἐν ἀγκῶνι φλέβα· εἰ δὲ κακοχυμία μᾶλλον ἐπικρατεῖ, καθαίρειν τῇ Ἀρχιγένους ἱερᾷ. μάλιστα δὲ αὐτοῖς βοηθεῖ τοῦτο· ἐλλεβόρου μέλανος φλοιοῦ < α σκαμμωνίας ὀβολοὶ γ ἀνίσου ἢ δαύκου ἢ πετροσελίνου βραχύ. ἡ δίαιτα δὲ ἔστω λεπτὴ καὶ ἄφυσος παντάπασι. βοηθεῖ δὲ αὐτοῖς ὁ μέλας καρπὸς τῆς παιωνίας, ιε κόκκοι λεῖοι διδόμενοι μεθ’ ὕδατος ἐν ποτῷ· ἐμβρέχειν δὲ καὶ τὴν κεφαλὴν ἀνηθίνῳ ἐλαίῳ θερμῷ καὶ σκέπειν πιλήματι καθεύδειν μέλλοντι. Περὶ ἐπιληψίας Γαληνοῦ. [20]

13 τρεῖς εἰσι τῆς ἐπιληψίας διαφοραί· πασῶν δὲ αὐτῶν κοινόν ἐστι πάσχειν τὸν ἐγκέφαλον, ἤτοι δὲ ἐν αὐτῷ πρῶτον συστάντος τοῦ πάθους ἢ κατὰ συμπάθειαν τοῦ στόματος τῆς γαστρός. ἐν δὲ τῷ σπανίῳ γίγνεται καὶ τὸ τρίτον εἶδος τῆς ἐπιληψίας ἀπὸ μορίου τινός, οὗ ἔτυχεν ἀρχομένου τοῦ πάθους, εἶτ’ αἰσθητῶς αὐτῷ τῷ κάμνοντι τὴν ἄνοδον ἐπὶ κεφαλὴν ποιουμένου. καὶ τοῦτο ἐθεασάμην ἐπὶ παιδὸς τὴν ἀρχὴν διαθέσεως ἐν τῇ κνήμῃ ἔχοντος, ἐντεῦθεν δὲ κατὰ καιρόν τινα ἀνιέναι διὰ τοῦ μηροῦ καὶ τῆς λαγόνος καὶ τῆς ῥάχεως ἐπὶ τὸν τράχηλον ἄχρι τῆς κεφαλῆς, ἐπειδὰν δὲ τῆς κεφαλῆς ψαύσῃ, μηκέτι παρακολουθεῖν ἑαυτῷ. τοιοῦτόν τι συμβαίνει κἀπὶ τῶν ὑπὸ σκορπίου ἤ τινος ἑτέρου τῶν ἰοβόλων πληγέντων. πεπληγὼς οὖν τις ὑπὸ σκορπίου χαλάζαις ἔφη δοκεῖν βάλλεσθαι καὶ ἦν ὅλος ὑπόψυχρος ἵδρου τε ψυχρὸν ἐσώθη τε μόγις βοηθούμενος. οὐκ ἀδύνατον οὖν κατά τινα τῶν ἀκύρων μορίων τοιαύτην τινὰ οὐσίαν γεννηθῆναι χωρὶς τῆς ἔξωθεν αἰτίας, καὶ ταύτην, ὅταν μάλιστα ἐν νευρώδει μορίῳ τὴν σύστασιν ἔχῃ, κατὰ τὸ συνεχὲς ἐπὶ τὴν ἀρχὴν ἀναπέμπειν τὴν δύναμιν. Ποσειδωνίου. σπασμὸς δὲ παρέπεται τοῖς ἐπιληπτικοῖς τῷ ἀνιᾶσθαι τὴν ἀρχὴν, τῶν νεύρων ὑπὸ τῶν ἐνοχλούντων· ὥσπερ γὰρ ὁ στόμαχος ἢ τροφῆς πλήθει βαρυνόμενος ἢ δακνόμενος ὑπὸ δριμέος χυμοῦ οὐ μόνον λυγμὸν ἀλλὰ καὶ σπασμὸν ἐπιφέρει, οὕτως οὖν καὶ ἡ ἀρχὴ τῶν νεύρων εἰς τοιαύτην κίνησιν ἄγεται, ἀποβαλεῖν σπεύδουσα ὅ τι περ ἂν ᾖ τὸ ἐπ’ αὐτὴν ἀπὸ τοῦ πρωτοπαθοῦντος ἀναφερόμενον. τεταγμέναι δὲ ἢ ἄτακτοι αἱ περίοδοι αὐτῆς γίγνονται παρὰ τὸν τρόπον τῆς διαίτης, ἢ γὰρ κατὰ πάντα ὁμαλῶς διαιτῶνται οἱ πάσχοντες ἢ ἀνωμάλως καὶ ἀτάκτως. εἰσβάλλοντος τοίνυν τοῦ παροξυσμοῦ τῶν ἐπιληπτικῶν, διακρατεῖν δεῖ τὰ σπώμενα καὶ περιστρεφόμενα μόρια λιπαίνειν τε καὶ ἀπευθύνειν, εἶτα διαστήσαντα τὸ στόμα καθιέναι πτερὸν κεχρισμένον ἐλαίῳ μάλιστα κυπρίνῳ ἢ ἰρίνῳ ἢ ναρκισσίνῳ καὶ ἔμετον ἐρεθίζειν, πρὸς τὸ κομίσασθαι τοὺς παρακειμένους ἐν τῷ στομάχῳ χυμούς. χρὴ δὲ καὶ ὀσφραντοῖς τὴν αἴσθησιν ἐρεθίζειν, οἷον πευκεδάνῳ ἢ ὀπῷ Κυρηναικῷ. ἐμβραδύνοντος δὲ τοῦ παροξυσμοῦ θαρσαλέως ὁ ἰατρὸς βιαζόμενος καὶ διιστῶν τὰς γνάθους καστόριον ἐγχεῖ τῷ στόματι καὶ ὀπὸν Κυρηναικὸν μετ’ ὀξυμέλιτος. ἀνακληθέντων δὲ αὐτῶν κλύζειν δι’ ἕδρας κενταυρίου καὶ καλαμίνθου ἀφέψημα ἢ ἀριστολοχίας· εἶτα ἀναλαβόντας τὴν δύναμιν καθαίρειν τῇ διὰ τῆς κολοκυνθίδος ἱερᾷ Γαληνοῦ. τοιαύτη μὲν δή τίς ἐστιν ἡ τῆς προσφάτου καὶ ὀξείας ἐπιληψίας θεραπεία, ἐφεξῆς δὲ ὅσα πρὸς ἀνασκευὴν τῆς κεχρονισμένης παραδώσομεν. χρὴ τοίνυν τοὺς πάσχοντας ἐν ὑδροποσίᾳ μακρᾷ συνέχειν, ἐγχειροῦντας δὲ τῇ θεραπείᾳ, εἰ μηδὲν κωλύοι,

φλεβοτομεῖν καὶ διαλιπόντας ἡμέρας δ ἢ ε ἀναλαβεῖν τὸ σῶμα καὶ οὕτως ὑποκενοῦν, μάλιστα μὲν δι’ ἐλλεβόρου μέλανος ἢ κολοκυνθίδος. δεῖ δὲ τοῦ μὲν ἐλλεβόρου τὸν φλοιὸν ξηρὸν κόψαντας καὶ σήσαντας διδόναι μετὰ μελικράτου ὅσον < α ἢ μέλιτι ἑφθῷ ἀναλαβόντας μετ’ ὀλίγου πεπέρεως καταπότια διδόναι. τῆς δὲ κολοκυνθίδος τὸ σπέρμα ἐξελών, καταλιπὼν δὲ τὴν ἐντεριώνην, πλῆσον οἴνου γλυκέος καὶ ἔα ὅλην τὴν νύκτα. ἕωθεν δὲ διηθήσας τὸ γλυκὺ καὶ χλιάνας δίδου πίνειν. μετὰ δὲ τὴν αὐτάρκη κάθαρσιν λούειν αὐτούς, τῇ δὲ τρίτῃ σικυαστέον ὑποχόνδριόν τε καὶ μετάφρενον μετ’ ἀμυχῶν, εἶτα διαστήσαντας ἡμέρας τινὰς καὶ ἀναλαβόντας τὸ σῶμα καθαίρειν τῇ διὰ τῆς κολοκυνθίδος ἱερᾷ Γαληνοῦ. εἶτα μετὰ τοῦτο σικυαστέον τὴν κεφαλὴν καὶ τῇ ἑξῆς καταπλάττειν αὐτὴν ἄρτῳ ἡψημένῳ μετὰ μελικράτου, συλλελειωμένοις πικροῖς ἀμυγδάλοις, ἢ ἑρπύλλου ἢ καλαμίνθου ἢ ἡδυόσμου ἢ πηγάνου καὶ τοῦτο ποιητέον ἐπὶ τρεῖς ἡμέρας καὶ μετὰ ταῦτα ξυρᾶν μὲν τὴν κεφαλὴν καὶ καταχρίειν αὐτὴν πευκεδάνου ὀπῷ ἐν ὄξει διειμένῳ, ἐν ᾧ σπονδύλιον ἢ ἕρπυλλον ἐναφέψηται, καὶ διαστήσαντα πάλιν διδόναι τῆς ἱερᾶς < γ μόνας, εἶτα πταρμικοῖς χρῆσθαι καὶ ἀποφλεγματικοῖς καὶ ἐρρίνοις, κυκλαμίνου χυλὸν ταῖς ῥισὶν ἐγχέοντα ἢ αὐτὴν τὴν ῥίζαν ξηρὰν λείαν ἐμφυσῶντα ἢ ἐλατήριον μετὰ γάλακτος καὶ διαστήσας κλύζε τῷ διὰ κενταυρίου καὶ κολοκυνθίδος, εἶτα σινάπιζε τὴν κεφαλὴν καὶ δριμυφαγίαις χρῶ ἐκ διαλειμμάτων. [55]

14 Ὅσα ἐλέγχει τοὺς ἐπιληπτικοὺς Διδύμου. ἐλέγχει ἐπιληπτικοὺς ὑποθυμιώμενα καὶ καταπίπτειν αὐτοὺς παρασκευάζει ἄσφαλτος γαγάτης λίθος κέρας αἴγειον καὶ ἡ ὀσμὴ τοῦ αἰγείου ἥπατος ὀπτωμένου καὶ αὐτὸ τὸ ἧπαρ ἐσθιόμενον. Διεγερτικὰ τῶν καταπεσόντων ἐπιληπτικῶν Διδύμου.

15 ἐὰν διέλῃς τὸν μέγαν δάκτυλον τοῦ ποδὸς αὐτοῦ ἐξ οἱουδήποτε μέρους καὶ τῷ ἀπορρέοντι αἵματι διαχρίσῃς τὰ χείλη αὐτοῦ τοῦ καταπεσόντος, εὐθέως διεγερθήσεται. Ἀσκληπιάδου ὀσφραντὸν διεγερτικὸν ἐπιληπτικοῖς. σαγαπηνοῦ πεπέρεως καστορίου ἀμυγδάλων πικρῶν πευκεδάνου ῥίζης σπονδυλίου χαλβάνης ἀνὰ < β σιλφίου < α ὀποβαλσάμου < α , ὄξει διαλύων ἀνάπλασσε τροχίσκους· ἐν δὲ τῇ χρήσει ὄξει διαλύων ὑπόχριε τοὺς μυκτῆρας. Ἄλλο διεγερτικὸν ἐπιληπτικῶν. ἡ χρῆσις ἐν τοῖς παροξυσμοῖς, ποιεῖ καὶ ταῖς ὑστερικῶς πνιγομέναις. ἔστω δὲ τὸ φάρμακον ἀποκείμενον εἰς χαλκὴν πυξίδα, ἣν προσάξεις τῇ ὀσφρήσει τοῦ πάσχοντος· χαλβάνης σπονδυλίου ἢ ἑρπύλλου ἰοῦ ξυστοῦ καστορίου ἀκόρου ἀνὰ < δ ὀποῦ πευκεδάνου < β ἢ τῆς ῥίζης < γ ὀποῦ Κυρηναικοῦ < α ὀποβαλσάμου πεπέρεως κόκκοι κδ ἀμύγδαλα πικρὰ λελεπισμένα λ πίσσης ὑγρᾶς ὅσον ἐξαρκεῖ, ὄξους τὸ ἴσον, χρῶ. Διοσκορίδους πρὸς ἐπιληπτικὸν βοηθήματα. [15]

16 πηγάνου ἀγρίου σπέρμα σὺν ὕδατι πινόμενον, σπονδύλιον ὁμοίως, βρυωνίας ῥίζης < α βαλσάμου καρποῦ < γ καρδαμώμου < α λωτοῦ τοῦ δένδρου πρισμάτων τὸ ἀπόβρεγμα πενταφύλλου φύλλα λ′ καθ’ ἑκάστην ἡμέραν πινόμενα, χελώνη χερσαία ἑψηθεῖσα καὶ ἐκλειχομένη λάσαρ σὺν τῇ τροφῇ. ἄκρως δὲ ὠφελεῖ τοὺς ἐπιληπτικοὺς καστόριον μετά τινα κάθαρσιν παραλαμβανόμενον ἐπὶ ἡμέρας ε ἢ πλείονας < α μετὰ μελικράτου καὶ τὸ τοῦ ἐλέφαντος ῥίνισμα μεγάλως ἐπιβοηθῆσαν ἔγνωμεν, ἐπὶ ἡμέρας ε ἢ πλείονας ὅσον κοχλιάρια β καθ’ ἑκάστην ἡμέραν μετὰ τοῦ μελικράτου πινόμενον. Ἐκ τῶν Ἀσκληπιάδου πρὸς ἐπιληπτικούς. ὀξαλίδα, ἤτοι ὀξυλάπαθον, χλωρὰν μάλιστα, πλεῖστον δίδου καθ’ ἑκάστην ἡμέραν ἀπὸ πρώτης τῆς σελήνης ἕως τριακάδος. ἡ δὲ αὐτὴ ὀξαλὶς βοτάνη χλωρὰ διδομένη μετ’ οἴνου τοῖς ἀπομωρουμένοις ἀποκαθίστησιν εἰς τὸ κατὰ φύσιν. Ἄλλο ὥστε μὴ συνεχῶς καταπίπτειν, φησὶν Ἀρχιγένης. ἠρυγγίου τοῦ ὀρείου καλουμένου, οὗ τὰ φύλλα στενὰ καὶ μικρότερα καὶ ἄνθη χρυσοειδῆ καὶ ὀφθαλμοειδῆ, τούτου τὴν ῥίζαν κόψας καὶ σήσας ἐπιμελῶς ἀπόθου κἀκ τούτου δίδου μύστρα δύο ἐπὶ ἡμέρας θ , προσβαλὼν μέλι τὸ αὔταρκες, ὡς ἔχειν πάχος ἐλίγματος καὶ τοῦτο ποίει ἐκ διαλειμμάτων, ὡς συμπληρῶσαι τξε ἡμέρας. ὁ γὰρ τοῦτο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λαμβάνων ἐπ’ ἐνιαυτόν, ὡς εἴρηται τξε ἡμέρας, οὐ ληφθήσεται τῷ πάθει. Ἄλλο Ἀρχιγένους ἵππου λειχῆνος τοῦ παρὰ τὰ γόνατα < ιβ καστορίου < ϛ χαλβάνης < ϛ ἑρπύλλου < δ , λεάνας μετ’ ὄξους ποίει τροχίσκους τριοβολιαίους καὶ δίδου α μετ’ ὀξυμέλιτος κυάθων β ἐπὶ ἡμέρας μ ἐν τοῖς διαλείμμασιν. Ἄλλο. σκίλλης ὀπτῆς τοῦ ἐντὸς λείου καὶ ἀνήθου τῶν ἀμφοτέρων ὀξύβαφον καὶ σελίνου ὀξύβαφαγ · φυράσας μέλιτι δίδου καρύου Ποντικοῦ μέγεθος μετ’ ὀξυμέλιτος καὶ πιών, εἰ μὲν δύναιτο, δραμέτω, εἰ δὲ μή, συντόνως περιπατείτω. Ἄλλο Ἀσκληπιάδου. φύλλα ἐλαίας κε καστορίου σὺν ὀξυμέλιτι, ᾧ Θεμίσων ἐχρήσατο. ποιεῖ ἐπιληπτικοῖς [καὶ ἐλεφαντιῶσιν], ἔστι δὲ καὶ θηριακὴ ἀγαθὴ ἐλεφαντιῶσι· σεσέλεως < ε σκορδίου καστορίου κινναμώμου τριφύλλου σπέρματος ἀνὰ < ϛ σταφίδος ἀγρίας < γ γεντιανῆς < η ἀριστολοχίας < ϛ πυρέθρου < η εὐφορβίου < ε πεπέρεως λευκοῦ < ι ὀποβαλσάμου < γ ὀποῦ Κυρηναικοῦ < γ · ὀξύμελι ἁπλοῦν σκευάσας ἀναλάμβανε ἐν αὐτῷ καὶ δίδου τοῖς μὲν ἐπιληπτικοῖς μεθ’ ὑδρομέλιτος κυάθων τριῶν, τοῖς δὲ ἐλεφαντιῶσι δίδου < α c. Ἄλλο, ᾧ Σερῆνος ἐχρήσατο, φάρμακον ἐπιληπτικοῖς, ᾧ οὐδὲν ἴσον· τὸ αὐτὸ συμπεπτικὸν καὶ κενωτικόν. καστορίου ἐλλεβόρου μέλανος σκαμμωνίας ἀνὰ < β ὀποπάνακος κυμίνου Θηβαικοῦ κενταυρίου νίτρου θείου ἀπύρου ἀβροτόνου ἀμμωνιακοῦ θυμιάματος πηγάνου ἀγρίου σπέρματος ἀψινθίου ἀνὰ < α , κόψας σήσας ἀναλάμβανε ὕδατι καὶ ἀνάπλαττε σφαιρία κυάμου Αἰγυπτίου τὸ μέγεθος καὶ δίδου ἓν τῆς ἡμέρας μετ’ ὀξυμέλιτος κυάθων δ . θεία ἐστὶν ἡ δύναμις. [ἔχει δὲ μίγματα ιβ < ιε ]. Ἄλλο. λαγωοῦ πυτίαν πινέτω καθ’ ἡμέραν νῆστις ὅσον ὄροβον ἐν ὕδατι διειμένην, μὴ παρούσης δὲ λαγῴας ἐριφείᾳ χρηστέον. Ἄλλο Ἀρχιγένους ἐπιληπτικοῖς καὶ τοῖς περιοδικῶς σπωμένοις ἢ εἰλεωδῶς ὀχλουμένοις ἢ χρονίως κεφαλαλγοῦσι. καστορίου ἀβροτόνου πάνακος ῥίζης πυρέθρου κρόκου ἀνὰ < η πηγάνου ἀγρίου σπέρματος σμύρνης πεπέρεως ἀνὰ < δ , ὄξει λειώσας σκιλλιτικῷ καὶ πλάσας τροχίσκους δραχμιαίους δίδου ἕνα ἀπυρέτοις ὀξυμέλιτι, πυρέσσουσι δὲ ἐν τῇ ἀνέσει ἢ ἐν τῷ διαλείμματι μεθ’ ὑδρομέλιτος ἐπὶ ἡμέρας γ · εἶτα διαλιπὼν τρεῖς, δίδου ἐπὶ ἄλλας γ · πάλιν διαλιπὼν ἡμέρας γ , δίδου ἐπὶ ἡμέρας γ , ὡς ὁμοῦ γίγνεσθαι δόσεις θ · ποιεῖ γὰρ καὶ ἀρθριτικοῖς, ἄγει καὶ ἔμμηνα γυναιξίν, ἐννάκις, ὡς εἴρηται, ποτισθέν.

16 (50) Ἄλλο ὁμοίαν ἔχον τὴν χρῆσιν. καστορίου πεπέρεως πάνακος ῥίζης ἀνὰ < η πυρέθρου σταφίδος ἀγρίας ἀβροτόνου πηγάνου σπέρματος ζιγγιβέρεως ἀκόρου δαύκου ἀνὰ < δ κρόκου ἴρεως καρδαμώμου ἀνὰ < β · δίδου ξηροῦ κοχλιάριον μελικράτῳ· ποιεῖ ἐπιληπτικοῖς παρέτοις τρομώδεσιν. Περὶ τῶν ἀπὸ στομάχου πρωτοπαθοῦντος ἐπιληπτικῷ τρόπῳ παροξυνομένων Γαληνοῦ.

17 εἰ δὲ πρωτοπαθοῦντος τοῦ στομάχου γίγνοιτο ἐπιληψία, κελεύειν χρὴ εὐπεψίας προνοοῦντα τὸν πάσχοντα περὶ τρίτην ὥραν ἄρτον ἐπιμελῶς ἐσκευασμένον προσφέρεσθαι ἐξ οἴνου παλαιοῦ λευκοῦ καὶ λεπτοῦ κεκραμένου τῶν ἠρέμα στυφόντων. δίδου δὲ αὐτοῖς καὶ τοῦ δι’ ἀλόης πικροῦ φαρμάκου πλειστάκις τοῦ ἔτους. εἰρήσεται δὲ ἐπὶ πλεῖον περὶ τῶν ἀπὸ στομάχου ἐπιληπτικῶς παροξυνομένων ἐν τῷ περὶ τῶν στομαχικῶν λόγῳ. ὠφελεῖ δὲ αὐτοὺς ἱκανῶς σέσελι καὶ τοῦ σπονδυλίου ἡ ῥίζα καὶ ὁ καρπὸς καὶ ἡ ἀριστολοχία μεθ’ ὕδατος λεία πινομένη. βοηθεῖ δὲ τούτοις μεγάλως καὶ ἡ ἀπὸ τῶν σφυρῶν ἢ τῆς ἰγνύος φλεβοτομία συνεχῶς γιγνομένη. οἶδα δέ ποτε παιδίον οὐδόλως ἐπιληφθέν, ἐξ οὗ τῆς ῥίζης τῆς παιωνίας ἐφόρει μέγα καὶ πρόσφατον ἐξηρτημένον τοῦ τραχήλου, ὡς ἀδιαλείπτως ἅπτεσθαι τοῦ στομάχου. Περὶ τῶν ἀπὸ μορίου τινὸς ἐχόντων τὴν τῆς ἐπιληψίας αἰτίαν.

18 ὅσοις δὲ ἀπό τινος ἑτέρου φανεροῦ μορίου τὴν ἀρχὴν ἔχει ἡ ἐπιληψία, καθάπερ ἐπὶ τοῦ προειρημένου ἀπὸ τῆς κνήμης, μετὰ τὴν τοῦ παντὸς σώματος κένωσιν, χρίσμασιν ἐκθερμαίνειν τὸν τόπον χρὴ πρότερον, εἶτα ἐπιθεῖναι τὸ διὰ σπερμάτων ἐπίθεμα καὶ τῶν ἐμπλάστρων τὰ ἀραιωτικά τε καὶ μεταβλητικὰ τῆς δυσκρασίας, οἷά ἐστιν ἡ μέθη καλουμένη καὶ ἡ δι’ ἀλθαίας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἡ Μνασαίου, μετὰ δὲ ταῦτα καὶ ἡ φοινικίνη. μετὰ δὲ χρόνον ἱκανὸν δρωπακίζειν τὸν τόπον καὶ σιναπίζειν. οὕτως μὲν νεανίσκους τε καὶ μειράκια καὶ παρακμάζοντας ἰσχυροτέρους θεραπεύεσθαι δεῖ. Θεραπεία γερόντων καὶ παιδίων ἁλισκομένων τῷ τῆς ἐπιληψίας πάθει Ποσειδωνίου.

19 γέροντας δὲ καὶ παιδία πάσχοντα τοιῶσδε θεραπεύεσθαι χρή. τὰς μὲν οὖν τοῦ σώματος κενώσεις παραιτητέον ἐπὶ τούτων διὰ τῶν καθαιρόντων ποιεῖσθαι φαρμάκων. ἄτονον γὰρ καὶ γέρουσι καὶ παισὶ τὸ σῶμα πρὸς τὴν τῶν καθαρτηρίων ἰσχὺν ἀντιβαίνειν. κλυστῆρι δὲ κενοῦν αὐτοὺς καὶ μάλιστα τοὺς γέροντας διὰ κενταυρίου ἀριστολοχίας πολυποδίου τε καὶ ἀνήθου καὶ διαμασᾶσθαι δὲ τοῖς γέρουσι προσήκει καὶ ἀναγαργαρίσμασι κεχρῆσθαι καὶ ἐρρίνοις. τοῖς δὲ παισὶ τὰ ἁπλούστατα τῶν κλυστήρων ἐνιέναι καὶ τριμμάτια δὲ καὶ σιναπισμοὶ ἁπλούστεροι μὲν ἔστωσαν ἐπὶ τῶν παίδων, δραστικώτεροι δὲ ἐπὶ τῶν γερόντων· τοῖς δὲ γέρουσι καὶ ἀντιδότους διδόναι τὰς προγεγραμμένας. Θεραπεία τῶν ἄγαν γεγηρακότων ἐπιληπτικευομένων δὲ Ποσειδωνίου.

20 τοὺς δὲ ἄγαν γεγηρακότας διαίταις μόναις θερμοτέραις συμβουλεύειν κεχρῆσθαι καὶ εὐπεψίας προνοεῖσθαι· ἀμήχανον γὰρ τοὺς συγγηράσαντας τῷ πάθει ἀνθρωπίνως θεραπευομένους ἀπαλλαγῆναι τοῦ νοσήματος. οἷς δὲ πρόσκαιρός ἐστιν ἡ διάθεσις, ἀπό τινων προφάσεων συμπίπτουσα, κἂν πάνυ γέροντες τύχωσιν, οὐκ ἀπελπιστέον τῆς θεραπείας αὐτῶν. Θεραπεία νεογενῶν παιδίων ἐπιληπτικῶς σπωμένων Ποσειδωνίου.

21 πάσχει καὶ τὰ νεογενῆ παιδία τὸ τῆς ἐπιληψίας πάθος καὶ δυσμεταχείριστον ἔχει τὴν θεραπείαν, πλὴν οὐκ ἀνίατον. ἐγχωρεῖ γὰρ τὰς αὐτῶν μητέρας ἢ τὰς θηλαζούσας διαιτᾶσθαι θερμοῖς σιτίοις καὶ ποτοῖς, ὅπως ἂν τὸ γάλα θερμότερον γένοιτο καὶ λεπτότερον καὶ πάσμασι δὲ καταπάττειν τὰς κεφαλὰς τῶν βρεφῶν θερμοτέροις, οἷον κύπερα ἀδίαντον ἶριν καὶ ἀλείφειν ἐλαίῳ ἀνηθίνῳ συνεχῶς καὶ ἰρίνῳ καὶ ἀμαρακίνῳ θερμοῖς. λούοντα δὲ μὴ βρέχειν τὴν κεφαλὴν μηδὲ τῷ θερμῷ μηδὲ τῷ ψυχρῷ, πλὴν εἴποτε δέοι ῥύπον ἀποσμήχειν ἀφρονίτρῳ καὶ μέλιτι καὶ οὕτως ἀποπλύνειν μόνην τὴν κεφαλὴν τῷ θερμῷ, μὴ βάπτειν δέ. διδόναι δὲ καὶ μέλι ἀπηφρισμένον ἐκλείχειν, περιάπτειν δὲ καὶ τῷ τραχήλῳ τὴν τῆς παιωνίας ῥίζαν πρόσφατον, ὥστε ἅπτεσθαι ἀεὶ τοῦ στομάχου. Περὶ μωρώσεως καὶ λήρου Ποσειδωνίου.

22 καὶ τὰς μωρώσεις δὲ καὶ τοὺς λήρους μετὰ τὴν ἐξ ἀρχῆς γένησιν ἐγχειρητέον ἰᾶσθαι, εἰ τὰ μόρια σύμπαντα τοῦ σώματος καὶ μάλιστα τῆς κεφαλῆς σύμμετρα ἔχωσι καὶ τὸν λογισμὸν πρότερον μὲν σώφρονα ἔσχον, ὕστερον δὲ ἀνόητοι φαίνονται. γίγνονται δὲ ἀμφότερα τὰ πάθη ψυχροτέρου τοῦ ἐγκεφάλου γιγνομένου, ποτὲ μὲν ἐκ ποιοτήτων μόνων, οἷον γίγνεται ἐν ταῖς ὁδοιπορίαις ὑετοῦ ψύχοντος τὴν κεφαλὴν ἢ ἀνέμου σφοδροῦ, ποτὲ δὲ καὶ βραχέος φλέγματος παραρρυέντος τῷ ἐγκεφάλῳ. διαφέρει δὲ μώρωσις λήρου τῷ τὴν μώρωσιν μὲν ἀκόλουθα καὶ λέγειν καὶ πράττειν, λῆρον δὲ μετάβασιν ἀνακόλουθον ποιεῖσθαι καὶ λόγον ἄλλον ἄλλῳ συμπλέκειν οὐδὲν ἐχόμενον τοῦ πρώτου. καὶ λῆρον μὲν γέρουσιν ὡς ἐπὶ τὸ πλεῖστον, μώρωσιν δὲ καὶ παισὶ καὶ μειρακίοις καὶ ταῖς ἄλλαις ἡλικίαις ἐκ νοσημάτων τινῶν προηγησαμένων ἐπιγίγνεσθαι. ἡ δὲ θεραπεία ἀμφοτέρων τῶν νοσημάτων παραπλησίως τῇ προειρημένῃ ἐπὶ τῶν ἐπιληπτικῶν, διὰ τῶν θερμαινόντων μὲν ὁμοίως βοηθημάτων γιγνομένη, οὐ μὴν ὁμοίως γε ξηραινόντων. Περὶ μνήμης ἀπολωλυίας ἐκ τοῦ Ῥούφου καὶ Γαληνοῦ.

23 ἡ τῆς μνήμης βλάβη φαίνεται πολλάκις ἐν νοσήμασί τισι γιγνομένη, συμβεβλαμμένου καὶ τοῦ λογισμοῦ, τῆς μὲν διαθέσεως ἀμφοτέροις τῆς αὐτῆς οὔσης, ἐπιτεταμένης δὲ ὁπότε τῇ μνήμῃ συναπόλωλεν ὁ λογισμός, ὅπερ ὀνομάζεται μώρωσις. ἀπόλλυται δὲ ἄμφω ταῦτα κατὰ τοὺς ληθάργους τε καὶ τὰ καρώδη πάθη πάντα, ὅτε καὶ ἡ θεραπεία ἡ ἐπὶ τῶν προειρημένων παθῶν ἀναγεγραμμένη παραλαμβάνεται ἤδη ἐνεστηκότων τῶν νοσημάτων. εἰ δὲ ἀποσκήψῃ ποτὲ ἔκ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τινος τῶν προειρημένων νοσημάτων—καὶ γὰρ καὶ τοῦτο γίνεται [ἢ] ἐκ λοιμοῦ, ὥσπερ οὖν καὶ ἐνέπεσεν ἐν τῷ γενομένῳ ἐν Ἀθήναις λοιμῷ—, τῶν μὲν νοσημάτων ὡς ἐπίπαν λυομένων, ἀφισταμένων δὲ εἰς λήθην, ἐπὶ τούτων σκοπεῖσθαι χρὴ τὴν μᾶλλον ἐπικρατοῦσαν ποιότητα οὕτως· μόνη μὲν ὑγρότης πλεονάσασα βαθεῖς καὶ μακροὺς ὕπνους ἐργάζεται, μόνη δὲ ξηρότης πλεονεκτοῦσα ἀγρυπνίας ἐργάζεται. εἰ δὲ ἡ ψυχρότης προσγένηται μεθ' ὑγρότητος ἱκανῶς, τὰ καταφορητικὰ καὶ καρώδη πάθη συνίσταται εἰ δὲ ὑγρότης μετ' ὀλίγης ψύξεως προσγένηται, αἱ τῆς μνήμης ἐπιγίγνονται βλάβαι καὶ αἱ μωρώσεις· οὔσης δὲ πολλῆς διαφορᾶς ἐν τῷ μᾶλλόν τε καὶ ἧττον τῶν κράσεων, ποικιλία πολυειδὴς γίγνεται τῶν βλαπτόντων τὰς ψυχικὰς ἐνεργείας αἰτίων. παραφυλάττειν οὖν χρὴ τοὺς ὕπνους τῶν ἀπολωλεκότων τὴν μνήμην ἢ τὴν σύνεσιν—ἀπώλεια γὰρ τῆς συνέσεως ἡ μώρωσίς ἐστι—, πότερον ὑπνώδεις οἱ κάμνοντές εἰσι σφόδρα ἢ μέρτιος αὐτοῖς ἐστιν ὁ ὕπνος. οὕτως γὰρ ἂν ἐξεύροις τὴν ἐπικρατοῦσαν δυσκρασίαν. ἐπιθεωρητέον δὲ καὶ εἰ πότερον ἐκκρίνεται πολλὰ διὰ ῥινῶν καὶ στόματος ἐκ τῆς κεφαλῆς καταφερόμενα ἢ ξηρὰ φαίνεται τὰ μέρη ταῦτα. εἰ μὲν οὖν ψῦξίς ἐστι μόνη, θερμαίνειν μόνον προσήκει, μὴ μέντοι ξηραίνειν μηδὲ ὑγραίνειν. εἰ δὲ μεθ' ὑγρότητος ἡ ψῦξις γένοιτο, θερμαίνειν καὶ ξηραίνειν· εἰ δὲ μετὰ ξηρότητος, θερμαίνειν καὶ ὑγραίνειν. ἐγὼ γοῦν οἶδά τινα μνήμην ὀλίγου δεῖν ἀπολέσαντα καὶ τὸν λογισμὸν βλαβέντα διὰ φιλοπονίαν καὶ ἀγρυπνίαν διὰ μαθημάτων, ἕτερον δὲ ἀμπελουργὸν ἐπὶ τοῖς κατὰ τὴν ἀμπελουργίαν πόνοις τὰ αὐτὰ παθόντα· καὶ προφανῶς ἑκάτερος αὐτῶν ὑπὸ μὲν τῶν θερμαινόντων τε καὶ ξηραινόντων ἐβλάπτετο, ὑπὸ δὲ τῶν ὑγραινόντων ἅμα τῷ θερμαίνειν ὠφελεῖτο. τούτων προσδιωρισμένων, τῆς θεραπείας ἐχώμεθα. εἰ μὲν ἐπὶ καθάρσεσί τισιν ἢ ἄλλαις ἀμέτροις κενώσεσιν ἢ συγκοπαῖς θραυσθείσης τῆς δυνάμεως ἐπιγένοιτο βλάβη τῆς μνήμης, τῇ ἀναληπτικῇ ἀναγωγῇ κεχρῆσθαι προσῆκε, μηδὲν ἕτερον περιεργαζόμενον. ῥωννυμένων γὰρ τῶν σωμάτων καὶ συλλεγομένων τῶν δυνάμεων ἀποκαθίσταται καὶ ἡ μνήμη. ὡσαύτως δὲ καὶ διὰ γῆρας ἔσχατον εἰ ἐπιγένοιτο βλάβη τῆς μνήμης, οὐ χρὴ περιεργάζεσθαι, μόνῃ τῇ καταλλήλῳ διαίτῃ ἀρκούμενον. ὅσοις δὲ αἰφνίδιον ἐκλείποι ἡ μνήμη, τὰ δ' ἄλλα ὑγιαίνειν δοκοῦσιν, ἐπὶ τούτων προσδοκᾶν δεῖ ἐπιληψίαν ἐπιγίγνεσθαι ἢ πάρεσιν ἢ καὶ ἀποπληξίαν ἢ καὶ ὅλως μέγα τι εὕροις ἐπ' αὐτῶν κακόν. τούτοις μὲν οὖν ἐξαρκοῦσί ποτε καὶ αἱ τῶν προσδοκωμένων νοσημάτων προσφυλακαί. ἐν ᾧ γὰρ κωλύομεν ἐλθεῖν τὴν νόσον, ἐν τούτῳ καὶ ἡ μνήμη ἀνασῴζεται· κωλύει δὲ τὰ εἰρημένα νοσήματα πρῶτον μὲν ἡ λεπτύνουσα καὶ τμητικὴ δίαιτα, ἔπειτα δὲ καὶ καθάρσεις ἁρμόδιοι καὶ τὰ παραπλήσια. εἰ δ' ἐκ νοσημάτων, ὡς εἴρηται, ἀποσκήψῃ ποτὲ οἷον ληθάργου ἢ λοιμοῦ, ἐπιχειρεῖν προσήκει ἀγωνιστικώτερον τῇ τούτων θεραπείᾳ. τὸ δὲ κεφάλαιον τῆς ἰάσεώς ἐστιν ἐν τῷ θερμαίνειν αὐτῶν τὸ σύμπαν σῶμα ἔνδοθέν τε καὶ ἔξωθεν πρὸς τὸ μέτρον τῆς ἐκτροπῆς τοῦ κατὰ φύσιν. [45]

23 (50) θερμάσματα δὲ ὡς ἐπίπαν τοῖς τοιούτοις ἁρμόδια, θέρους μὲν ἔλαιον καθ' αὑτὸ θερμόν, χειμῶνος δὲ ἴρινον σὺν ὄξει δριμυτέρῳ, ἐνίοτε ἑρπύλλου ἢ σπονδυλίου ἢ καλαμίνθης αὐτῷ ἐναφεψημένων, ἔστι δ' ὅτε καὶ νίτρου ἐμβάλλοντες καὶ πεπέρεως ἢ δαφνίδων. ἀγαθὸν δὲ καὶ τὸ καστόριον σὺν ἐλαίῳ τῷ ἰνίῳ προσαγόμενον. βοηθεῖ δὲ τούτοις μειζόνως ἡ διὰ τῆς ἱερᾶς Ῥούφου κάθαρσις. ἔστι γάρ, φησίν, ὅτε τούτῳ μόνῳ καθαίροντι τούτους τὰ μέγιστα ὠφέλησα, τῷ ἐν ταῖς καθάρσεσι μηδὲν τῶν χρηστῶν συναποφέρειν αὐτῇ. ἄρχεται γὰρ ἄνωθεν ἀπὸ κεφαλῆς κατασπᾶν, ἔπειτα καὶ τὰ ἄλλα μόρια διέρχεται, οὐδὲν βίαιον οὐδ' ἀλγεινὸν ἐπιφέρουσα, οὐ φλόγωσιν οὐ καρδιαλγίαν οὐ δίψαν· ἀεὶ δὲ πρὸς λόγον τῆς κενώσεως κουφίζει, ὅθεν καὶ στόμαχος ῥώννυται ἐπὶ τῇ καθάρσει, ὥστε καὶ ἐπιτείνεσθαι τὴν τῶν σιτίων ὄρεξιν. πεπίστευται δὲ μετὰ τὴν τῆς ἱερᾶς κάθαρσιν καὶ τὸ τοῦ ἐλέφαντος ῥίνισμα τῇ μνήμῃ βοηθεῖν πινόμενον ὅσον κοχλιάρια β μετὰ μελικράτου καὶ κέρας ἐλάφειον ὁμοίως. καὶ τὸ καστόριον δὲ ὁμοίως μετὰ τὴν κάθαρσιν πινόμενον ὅσον < α μετὰ μελικράτου μειζόνως βοηθεῖ. μεγίστη δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἡ τοῦ λευκοῦ ἐλλεβόρου πόσις, οὐχ ὥσπερ οἴονταί τινες τὸ ἔσχατον τῆς βοηθείας, ἀλλά τις ὀρθῶς ἄρξαιτο ἐντεῦθεν. τί γὰρ δεῖ μακρὰ καὶ πολλὰ κάμνειν, ἐξὸν ἤδη παρὰ τοῦ μεγίστου βοηθήματος τὰ μέγιστα τῆς ἰάσεως ἔχειν; ὅθεν μηδὲν ὑφορωμένους διδόναι χρὴ τὸν ἐλλέβορον, πρὶν κρατηθῆναι τῷ νοσήματι τὸν κάμνοντα καὶ ἐξίτηλον τὴν ἰσχὺν ἐργάσηται τοῦ βοηθήματος. ὠφέλιμα δὲ καὶ τὰ δι' ἐλλεβόρου λευκοῦ καὶ καστορίου πταρμικὰ προσαγόμενα ταῖς ῥισὶ μετὰ τὰς κενώσεις, καὶ τὰ ἔρρινα προσαγόμενα ταῖς ῥισὶ καὶ ἀποφλεγματισμοί· τροφὴ δὲ ψαφαρὰ ἐπιτήδειος καὶ ποσῶς θερμαντικὴ καὶ λεπτυντική· λαχάνων δὲ ὡς ἐπίπαν τῶν ψυχόντων πάντων ἀποχὴ ἔστω καὶ ὀπώρας καὶ τραγημάτων τυρῶν τε καὶ γάλακτος καὶ τῶν παχυνόντων τε καὶ πνευματούντων σιτίων· τὰ μὲν γὰρ θολοῖ, τὰ δὲ πήγνυσι τὸ πνεῦμα. τῆς δὲ δριμυτέρας ὕλης ἐκ διαστημάτων προσαγέσθω, οἷον σκόρδα θύμβρα ὀρίγανα γλήχων καὶ ῥαφανίδες. φείδεσθαι δὲ καὶ τούτων τοῦ πλήθους, ἀεὶ δὲ τὴν ἀπεψίαν παραφυλάττεσθαι. πάντως γὰρ μᾶλλον αἱ ἀπεψίαι τῇ γνώμῃ κακόν. οἶνος δὲ τούτοις ἁρμόδιος λευκὸς καὶ λεπτὸς καὶ μὴ πάνυ παλαιός· τῇ γὰρ μετριᾳ θερμότητι ἄλλα τε δύναται οὐκ ὀλίγα καὶ ψυχὴν ἀνθρώπου ἡμερῶσαι καὶ πρὸς σοφίσματα οἰκείαν ἐργάσασθαι κίνησίν τινα αὐτῇ διδοὺς ἐμμελῆ καὶ καθεστηκυῖαν. πολυποσία δὲ ὕδατος καὶ πολλῷ μᾶλλον οἴνου παντὸς κάκιστον· ὑγραίνει γὰρ σφόδρα τὴν κεφαλήν· ἡ δὲ ὑγρότης ἡ πλείστη ἐστὶν ἐπιλησμονεστάτη. ὕπνος σύμμετρος ἔστω καὶ μὴ ἐπὶ πλησμονῇ παραλαμβανέσθω. ἀφροδισίων δὲ σπανιωτάτη ἡ χρῆσις ἔστω· οὔτε γὰρ τῇ ὅλῃ ὑγείᾳ λυσιτελεῖ οὔτε τοῖς τῆς ψυχῆς λογισμοῖς, ἀλλὰ καὶ ἀθυμίαν ἐμποιεῖ· σπασμῷ τε γὰρ πώς ἐστι συγγενὴς ὁ κατὰ τὰς συνουσίας σπαραγμὸς καὶ ἡ ἐπιγιγνομένη κατάψυξις πήγνυσί πως καὶ ναρκοῖ τὴν διάνοιαν. μετὰ δὲ τὰς καθάρσεις τάς τε καθολικὰς καὶ τὰς τοπικὰς καὶ σιναπισμὸς τοῦ ἰνίου ἐπιτήδειος καὶ μετὰ τὸν σιναπισμὸν λουτρὸν παραλαμβανόμενον. ἀπεψίαν δὲ καὶ κόπον φυλακτέον παντάπασι τῶν τε ἄλλων σωμάτων καὶ μάλιστα τῆς κεφαλῆς καὶ αὐτῆς τῆς διανοίας. ἐγκαύσεις σφοδρὰς καὶ ψύξεις—ἀμφότεραι γὰρ πληρωτικαὶ τῆς κεφαλῆς—φυλακτέον. 〈φυλακτέον〉 δὲ καὶ τὰ παχύνοντα τῶν σιτίων καὶ τὰ ἐμπνευματοῦντα καὶ τὰ ὑγραίνοντα. ἐκ τούτων δέ τις ὁρμώμενος καὶ ἐπὶ ὑγιαινόντων μέν, ὑγροτέραν δὲ τὴν κεφαλὴν κεκτημένων, τὴν δίαιταν ὑποτυπώσειεν, ὡς ἄν τις κάλλιστα μνημονεύοι. [95]

24 Περὶ λυσσοδήκτων ἤτοι ὑδροφόβων ἐκ τῶν Ῥούφου καὶ Ποσειδωνίου. οἱ κύνες θερμοὶ καὶ ξηροὶ φύσει τυγχάνοντες ἐπικτῶνται κατὰ τὸ θέρος ἐκ τοῦ περιέχοντος ἡμᾶς ἀέρος ἑτέραν θερμότητα καὶ ξηρότητα καὶ τῇ ἀμετρίᾳ τῆς δυσκρασίας ὑπομένουσι μανίαν, ὃ καλεῖται λύσσα. μάλιστα δὲ τοῦτο πάσχουσι κατὰ τὰς χώρας ἐκείνας, ἐν αἷς μέγισται καὶ ἀνώμαλοι μεταβολαὶ τοῦ περιέχοντος ἀτάκτως γίνονται, ἐν αἷς καὶ χειμῶνες σφοδροὶ γίνονται καὶ καῦμα ὑπερβάλλον. μανέντες δὲ οἱ κύνες καὶ δίψει σφοδρῷ ἁλισκόμενοι ποτὸν οὐ προσίενται διὰ τὸ παραφρονεῖν, ὅθεν καὶ μᾶλλον αὐτοῖς ἐπιτείνεται ἡ τοῦ ἰοῦ κακία. σημεῖα δέ ἐστι λυττώντων κυνῶν τοιάδε· ἄφωνοί εἰσι καὶ ἔκφρονες, ὥστε μηδὲ τοὺς οἰκειοτάτους γνωρίζειν, ἀλλὰ καὶ τούτων πρῶτον ἅπτεσθαι· ἀπόσιτοι δὲ καὶ διψώδεις μέν, οὐ ποτικοὶ δέ, καὶ ἀσθμαίνουσιν ἐπὶ πολύ, κεχηνότες δὲ τὸ στόμα καὶ τὴν γλῶτταν προβάλλοντες, σίαλον δὲ δαψιλὲς καὶ ἀφρῶδες προχέουσι τά τε ὦτα ἐπικλίνουσι καὶ τὴν οὐρὰν κεχαλασμένην ἔχουσι. βαδίζοντες δὲ νωθρότεροί τε καὶ οἷον κωματωδέστεροί εἰσιν· εἰ δὲ καὶ τρέχοιεν ὀξύτερον τοῦ εἰωθότος, τρέχουσι μετὰ τοῦ ἀκαίρου καὶ ἀτάκτου. τοὺς τοιούτους οὖν κύνας ἐκκλίνειν δεῖ. πάντες γὰρ ὡς ἐπίπαν οἱ δηχθέντες ὑπὸ κυνὸς λυσσῶντος ἀμεληθέντες ἢ κακῶς θεραπευθέντες ἐμπίπτουσι τῷ ὑδροφοβικῷ πάθει, καὶ μάλιστα οἱ κακόχυμοι τοῦτο πάσχουσιν, ὅθεν τινὲς αὐτίκα δηχθέντες ἔδεισαν τὸ ὕδωρ καὶ ἄλλα ὑγρά, τινὲς δὲ μεθ' ἡμέρας μ , ἕτεροι δὲ καὶ μετὰ πλείονα χρόνον. γίγνεται δὲ αὐτοῖς χαλεπωτέρα ἡ ἔκστασις, ὅταν ὕδωρ ἢ ἕτερόν τι διαυγὲς θεάσωνται οἷον ἔσοπτρον· ὁρῶσι γὰρ τὸ ἑαυτῶν πρόσωπον ἐνερευθὲς ὂν καὶ δριμὺ βλέπον καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πλῆρες ὀργῆς. δυνατὸν δὲ αὐτούς, ὥς φασί τινες, καὶ τοῦ δάκνοντος κυνὸς τὸ εἴδωλον φαντάζεσθαι φαινόμενον κατὰ τῶν ὑγρῶν· ἀναμιμνησκόμενοι δὲ τῆς μορφῆς τοῦ κυνός, ἀθρόως αὐτοὺς καταλαμβάνει φόβος ἄμετρος· τοῦτο δὲ πάσχουσι τῇ ἀμετρίᾳ τῆς ξηρότητος. φιλόσοφος γάρ τις δηχθεὶς ὑπὸ λυττῶντος κυνὸς καὶ γενναίῳ φρονήματι πρὸς τὸ πάθος ἀντισχὼν καὶ ἀνακόλουθον εὑρὼν τὸ ἐν βαλανείῳ φαίνεσθαι κύνα, —ἐφαίνετο γὰρ αὐτῷ καθάπερ καὶ τοῖς ἄλλοις τοῖς τοῦτο παθοῦσιν, —ἐπιλογισάμενος οὖν καὶ ἐν ἑαυτῷ εἰπών· τί κοινὸν κυνὶ καὶ βαλανείῳ; κατεκράτησε τοῦ πάθους καὶ ἰάθη λουσάμενος καὶ πιὼν ἀφόβως. δηχθέντος μὲν οὖν τινος ὑπὸ κυνὸς λυσσῶντος, ὅτι τάχιστα χρὴ τούτῳ βοηθεῖν τῇ νενομισμένῃ ἐπιμελείᾳ, κἂν μικρὸν κἂν ἐπιπόλαιον εἴη τὸ δῆγμα, εἰδότας ὅτι οὐδεὶς τῶν μὴ καλῶς θεραπευθέντων ἐξέφυγεν. δεῖ οὖν πρῶτον μὲν τὸ τραῦμα μεῖζον ἐργάζεσθαι σμιλίῳ τὸ στόμιον ἐπιδιαιροῦντας καὶ εὐρύνοντας, ἔπειτα δὲ καὶ ἀμυχαῖς κνίζειν ἅπαντα τὸν ἐν κύκλῳ τόπον, μηχανώμενον ῥύσιν αἵματος πολλοῦ διὰ τοῦ τόπου γίγνεσθαι, καίειν δὲ τὸ ἕλκος καυτηρίοις διαπύροις πλατυτέροις, ἔπειτα καταπλάσσειν πράσου ἢ ἄρτου μεθ’ ἁλῶν τετριμμένων ἢ κρόμυα ἢ σκόροδα καὶ μετὰ τὴν ἔκπτωσιν τῶν ἐσχαρῶν ἐπὶ ἡμέρας μ ἢ καὶ ξ φυλάττειν ἀκατούλωτα τὰ ἕλκη. καὶ εἰ ταχύνει πρὸς ἀπούλωσιν, πάλιν τῇ ἀμπελίνῃ τέφρᾳ καὶ τῇ συκίνῃ καὶ τοῖς ὁμοίοις ἀναλύειν τὰ ἕλκη. καλὸν δὲ καὶ πράσου φύλλοις διὰ τοῦτο καταπλάσσειν καὶ τῇ ἀναγαλλίδι· αὕτη δὲ καὶ τοῖς ὑπὸ κεράστου δηχθεῖσι μεγάλως βοηθεῖ. καταντλεῖν δὲ χρὴ τὸ ἕλκος ἑψῶντα ἐν ὕδατι τὰ χαμαίμηλα καὶ τὴν τοῦ ὀξυλαπάθου ῥίζαν· καλεῖται δὲ ὀξαλίς. οἶδα δέ τινα πρεσβύτην, ὁπότε δηχθείη τις ὑπὸ κυνός, τῇ ὀξαλίδι μόνῃ θεραπεύοντα· καὶ γὰρ κατέχεε κατὰ τοῦ ἕλκους τὸ ἀφέψημα καὶ κατέπλαττε τῇ πόᾳ καὶ πίνειν ἐδίδου ἀπ’ αὐτῆς καὶ σφόδρα ἐπῄνει ὡς ἰσχυρὸν τὸ φάρμακον. [45]

24 (50) οὐροῦσι δὲ οἱ λαβόντες αὐτὴν ἄνθρωποι πολλὰ καὶ ἄκρατα· διὰ τοῦτο καὶ ἰκτερικοὺς αὐτῇ ἐκάθηρεν. ἡμεῖς δὲ καὶ λειχῆνας ἀφιστῶμεν αὐτῇ μετ’ ὄξους τρίβοντες καὶ τοῖς κνησμοῖς ἐπιβοηθοῦμεν τῇ αὐτῇ ῥίζῃ. χρώμεθα δὲ αὐτῇ καὶ ἐπὶ λυσσοδήκτων σὺν τοῖς ἄλλοις βοηθήμασι. παραπλησίως δὲ ποιεῖ καὶ τὸ ἄγριον λάπαθον τὸ κεντρῶδες ῥίζαν ἔχον ὑπομήκη, οἷον ῥαφανὶς μικρά. εὐδόκιμον δὲ ἐπ’ αὐτῶν φάρμακον τὸ Γαλήνειον τὸ διὰ τῆς Βρυττίας πίσσης· ἔστι δὲ τοῦτο· πίσσης Βρυττίας λι α ὀποπάνακος ℥ γ ὄξους κοτύλαιβ · μέρει τινὶ τοῦ ὄξους τὸν ὀποπάνακα λείου, τὸ δὲ λοιπὸν βαλὼν σὺν τῇ πίσσῃ, ἕψε ἕως δαπανηθῇ τὸ ὄξος καὶ ἐπίχεε τῷ λειωθέντι ἐν τῇ θυίᾳ ὀποπάνακι καὶ ἑνώσας ἀναλάμβανε καὶ ἐμπλάσας ἐπιτίθει τῷ τραύματι, χρώμενος αὐτῷ ἡμέρας μ ἢ καὶ ξ . οὐκ ἐάσει γὰρ συνουλωθῆναι τὸ ἕλκος. ἀγαθὸν δὲ καὶ τῆς δι’ ἐχιδνῶν θηριακῆς ἀντιδότου ἀναλύσαντας σὺν ῥοδίνῳ ἐλαίῳ ἐπιτιθέναι τῷ τραύματι καὶ πίνειν δὲ αὐτῆς οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ τρίς. καὶ ξηρὸν δὲ ἁρμοδιώτατον αὐτοῖς τοῦτο· ἁλῶν ὀρυκτῶν < κ χαλκίτεως < ις σκίλλης < ις πηγάνου χλωροῦ < δ ἰοῦ ξυστοῦ < δ πράσου σπέρματος < α , ἀποτιθέναι ξηρανθὲν ἐν τῇ ἡλιώσει ἐν πυξίδι χαλκῇ. χρῶ πρῶτον ξηρῷ, ἵνα ἐσχαρωθῇ, εἶτα μετὰ ῥοδίνου, ἵνα ἐκπέσωσιν αἱ ἐσχάραι. καὶ ποταμογείτων μεθ’ ἁλῶν καταπλαττόμενος οὐκ ἐᾷ ἐμπίπτειν τῷ ὑδροφοβικῷ πάθει· χρῶ δὲ τῇ βοτάνῃ καὶ ὑγρᾷ καὶ ξηρᾷ. διδόναι δὲ τοῖς λυσσοδήκτοις καὶ πίνειν τῆς θηριακῆς ἀντιδότου ἐπὶ ἡμέρας τρεῖς τὰς πρώτας, καρύου Ποντικοῦ τὸ μέγεθος. οὐκ οἶδα γὰρ οὐδένα τῶν λαβόντων αὐτὴν ἁλόντα τῷ ὑδροφοβικῷ πάθει, οὐ μὴν οὐδὲ τῶν ἄλλων βοηθημάτων χρὴ ἀπέχεσθαι, ἀλλὰ διδόναι μάλιστα τὴν διὰ τῶν ποταμίων καρκίνων εὐδόκιμον ἀντίδοτον. ἔστι δὲ ἡ σύνθεσις αὕτη· καρκίνων ποταμίων εὐμεγέθων ζώντων ἐπὶ χαλκῷ ἐρυθρῷ ἀγγείῳ κεκαυμένων τῆς τέφρας ℥ ι γεντιανῆς ℥ ε λιβανωτοῦ ℥ α . δεῖ δὲ σκευάζειν τὸ φάρμακον ἐν μηνὶ Αὐγούστῳ, ἡνίκα ὀκτωκαιδεκαταία ἐστὶν ἡ σελήνη. εἰ δὲ μὴ παρείη τὸ οὕτως σκευασθέν, οὐδενὸς τούτων φροντιστέον, ἀλλὰ σκευάσαντα τῷ τυχόντι καιρῷ, ὡς εἴρηται, διδόναι. καλὸν μέντοι ξύλοις ἀμπελίνοις ὑποκαίειν· δίδου δέ, εἰ ἀπ’ ἀρχῆς χρήσαιο τῷ προποτισμῷ, κοχλιαρίου πλῆθος σὺν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὕδατι θερμῷ ἄχρις ἡμερῶν μ . εἰ δὲ οὐκ ἐξ ἀρχῆς, ἀλλὰ μεθ’ ἡμέρας τινάς, δίδου καθ’ ἑκάστην κοχλιάρια δύο, ἕως ἂν πληρώσῃς τὰς μ ἡμέρας. ποιεῖ δὲ καὶ καθ’ ἑαυτὴν ἡ τέφρα τῶν καρκίνων πινομένη καὶ τῷ τραύματι ἐπιτιθεμένη μετὰ μέλιτος. Ἀντίδοτος ἡ διὰ καρύων. σκευάζεται δὲ ἀντίδοτος ἡ διὰ καρύων λεγομένη καὶ τοῖς ἤδη πυρέττουσι λυσσοδήκτοις ἁρμόζουσα· πρὸς γὰρ τῷ ἀντιπάσχειν τῷ πάθει ἐστὶ καὶ ὑπνοποιός. ἡ δὲ σύνθεσις αὕτη. σαγαπηνοῦ < β ὀπίου Θηβαικοῦ < β κρόκου γρ′ α c λυκίου Ἰνδικοῦ γρ′ α c σαρκὸς καρύων μὴ πάνυ παλαιῶν < μ , ἀναλάμβανε καὶ δίδου < α σὺν ὕδατι ὀμβρίῳ θερμῷ εἰς νύκτα, μετὰ τὴν ἀκμὴν τοῦ πυρετοῦ, ὥστε ἕωθεν μὲν τῆς διὰ καρκίνων, εἰς ἑσπέραν δὲ τῆς διὰ καρύων. μὴ παρόντων δὲ τούτων δίδου τοῦ κύφεως, εἴτε τοῦ διὰ τῶν λϛ ἔχοις, εἴτε τοῦ διὰ τῶν κη . ὠφέλιμος δὲ καὶ ὁ Κυρηναικὸς ὀπὸς ἢ ὁ Παρθικὸς ὅσον κυάμου μέγεθος καταπινόμενος. τινὲς δὲ τὸ ἧπαρ αὐτοῦ τοῦ δακόντος κυνὸς ἑφθὸν διδόασι τῷ δηχθέντι καὶ τῆς αἰθυίας δὲ τοῦ ὄρνιθος τὸ ἧπαρ ὀπτὸν διδόμενον σὺν ἐλαίῳ καὶ ἅλατι ὀλίγῳ ὠφέλιμον γίγνεται· φασὶ γὰρ οὕτως ἐνεργὲς αὐτὸ εἶναι, ὥστε τὸν πάσχοντα παραχρῆμα αἰτεῖν ὕδωρ· καὶ ἱππόκαμπος δὲ θαλάττιος ὀπτὸς ἐσθιόμενος ὠφελεῖ· ἔρωτα γάρ φασιν ὕδατος παρέχειν τὸ αὐτοῦ αἷμα καὶ ἀντιπάσχειν τῷ φόβῳ τοῦ ὕδατος, ὅθεν καὶ δεύτερον καὶ τρίτον ἀναγκάζουσιν ἐσθίειν τὸν ἱππόκαμπον. [95]

24 (100) καὶ αὐτοὺς δὲ τρίψαντες τοὺς ἱππόκάμπους μετ’ ὄξους δριμέος καταπλάσσουσι τὸ ἕλκος καὶ ἐκράτησαν τούτῳ τῷ φαρμάκῳ πολλάκις τῆς λύττης καὶ σκύλακος δὲ πυτία σὺν ὕδατι διδομένη ὠφελιμώτατον αὐτοῖς ἐστι τὸ ποτόν, κἀπειδὰν ἅπαξ αὐτῷ προσάρωνται, κινεῖ συνεχῶς αὐτοῖς ἐπιθυμίαν ποτοῦ καὶ πίνουσιν καὶ ἕτερόν τι τῶν ὑγρῶν ἀδεῶς· δεῖ δὲ οὐ πολλῶν ἡμερῶν τὸν σκύλακα εἶναι, ἀλλὰ νεωστὶ τεχθέντα καὶ τεθηλακότα τὴν μητέρα. ὠφελεῖ δὲ αὐτοὺς καὶ ἡ λευκάνθεμος πόα ποτιζομένη· τοσαύτη δὲ δύναμις αὐτῇ ὑπάρχει, φασίν, ὅτι καὶ ὑποχριομένου αὐτῇ τοῦ πυθμένος τοῦ ποτηρίου καὶ διδομένου δέχεσθαι αὐτοὺς τὸ ποτὸν ἡδέως. τὸ αὐτὸ λέγεται ποιεῖν καὶ τὸ χαμαίμηλον. ὠφελιμωτάτη δὲ αὐτοῖς ἐστι καὶ ἄσφαλτος Ἰουδαικὴ πινομένη μεθ’ ὕδατος κυάθωνγ · δίδου αὐτοῖς τοῖς τελείοις Γρ α , ἐν ἄλλῳ < α · ἄκρως ποιεῖ. ὠφελίμως δὲ δίδοται καὶ τῆς ἀγρίας συκῆς ὁ φλοιὸς τῶν ῥάβδων ξηραινόμενος καὶ κοπτόμενος καὶ ποτιζόμενος σὺν ὕδατι καὶ τὸ λύκιον τὸ Ἰνδικὸν καὶ τὸ ἀψίνθιον καὶ τὸ σκόρδιον καὶ τὸ μικρὸν κενταύριον ἀριστολοχία ἀρτεμισία χαμαίδρυς βρυωνίας ῥίζα πόλιον λάσαρ καρκίνων ποταμίων ἀφέψημα ἀνήθου πολλοῦ συνεψομένου. ὑποστρώννυται δ’ αὐτοῖς ὠφελίμως καὶ ἐπιβάλλεται ἄρκτου δέρμα καὶ φώκης, μάλιστα δὲ ὑαίνης· ἐναργέστατον δέ ἐστιν, ὥστε ἐπιβληθὲν αὐτοῖς ταχεῖαν τὴν τῆς γνώμης ἀποκατάστασιν ποιεῖσθαι καὶ καιόμενον δὲ τὸ δέρμα τῆς ὑαίνης καὶ διδομένης τῆς τέφρας ἐν ποτῷ παύει τὸ ὑδροφοβικὸν πάθος. διάγνωσις δέ σοι ἔστω τοῦ ἀπηλλάχθαι τοῦ κινδύνου τὸν ἄνθρωπον ἐκ τούτων· κατάπλαττε τὸ ἕλκος καρύοις βασιλικοῖς λειοτάτοις, τῇ δὲ ἑξῆς ἐπιλύσας, παράθου τὸ κατάπλασμα εἰς βρῶσιν ἀλεκτρυόνι ἢ ἀλεκτορίδι· εἰ γὰρ φαγοῦσα ἡ ὄρνις μὴ ἀποθάνῃ, τότε εἰς οὐλὴν ἄγε τὸ ἕλκος, ὡς ἀπηλλαγμένου τοῦ κινδύνου τοῦ πάσχοντος. χρῶ δὲ εἰς διάγνωσιν τῷ αὐτῷ ἐξ ἀρχῆς. εἰ γὰρ ἡ φαγοῦσα ὄρνις τὸ ἐκ τῶν καρύων ἐν τῇ πρώτῃ ἡμέρᾳ ἐπιτιθέμενον τῷ ἕλκει κατάπλασμα μὴ ἀποθάνῃ, γίγνωσκε μὴ ὑπὸ λυσσῶντος δηχθῆναι· εἰ δὲ ἀποθάνῃ, τοὐναντίον· ὡς ἐπίπαν γὰρ τοῦ πρώτου οὐδ’ ἅψεται. εἰ δὲ ὑπὸ λιμοῦ βιασθεῖσα φάγοι, τελευτήσει, εἴ γε λυττῶν εἴη ὁ κύων. τοῦτο οὖν καθ’ ἑκάστην ἀλλάσσειν χρή, μέχρις οὗ φαγοῦσα ἡ ὄρνις μὴ ἀποθάνῃ. συνουλοῖ δὲ τὸ ἕλκος κάλλιστα καὶ ἀσφαλέστατα ἡ θηριακὴ ἀντίδοτος μετὰ ῥοδίνου ἀνιεμένη. συνουλωθέντων δὲ τῶν ἑλκῶν ἐλλέβορον τὸν λευκὸν διδόναι πρὸς ἀνασκευὴν παντὸς τοῦ πάθους. καὶ γὰρ οἱ λυσσῶντες κύνες τοῦτον μετὰ ἀλφίτων φαγόντες ἐμοῦσι καὶ αὐτίκα σωφρονοῦσιν ἀπαλλαγέντες τῆς λύττης. γένοιτο δ’ ἂν τὸ δέον καὶ εἰ κάτω καθαίροις τῇ Ῥούφου ἱερᾷ, ὅταν τι κωλύῃ λαβεῖν τὸν ἐλλέβορον· διδόναι δὲ καὶ ἐφ’ ἡμέρᾳ πίνειν τῆς ἱερᾶς, οὐκ εἰς κάθαρσιν, ἀλλ’ ὥς τι ἀλεξίκακον φάρμακον ὅσον καρύου Ποντικοῦ τὸ μέγεθος μετὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κυάθου ἀφεψήματος ἐλελισφάκου ἢ τῆς σιδηρίτιδος πόας τῆς Ἡρακλείας καλουμένης. χρῶνται δὲ αὐτῇ τινες καὶ μόνῃ καί φασιν ἱκανῶς βοηθεῖν, διὰ τοῦτο καὶ ἄλυσσον ταύτην τὴν πόαν ὀνομάζουσι. διαιτᾶν δὲ ἐνδείας καὶ πλησμονὰς φυλασσόμενον, καὶ μᾶλλον τὰς ἐνδείας· ἐπιτείνουσι γὰρ αἱ ἔνδειαι τὰς κακίας τῶν χυμῶν, ὅπερ οὐδαμῶς ἐπιτήδειον ἕλκει πονηρῷ. ὅθεν μετριάζειν δεῖ τὴν τροφήν, ὡς ἂν καὶ πέσσοιεν καλῶς καὶ εὐχυμότατον γένηται τὸ σῶμα.

24 (150) ἐπιμελεῖσθαι δὲ καὶ διαχωρήσεων τῶν πρὸς ἡμέραν καὶ οὐρήσεων. τοῦτο δὲ ποιοῦσι καὶ αἱ προειρημέναι ῥίζαι καὶ σκάνδιξ ἐσθιόμενον καὶ μάραθρον. τὸ δὲ κρῆθμον καὶ τὴν γαστέρα καὶ τὰ οὖρα κινεῖ. τὸ δὲ κιχώριον μάλιστα τὸ ἄγριον καὶ εὐστόμαχόν ἐστιν ὠμὸν ἐσθιόμενον· καλοῦσι δὲ αὐτὸ ἔνιοι σέριν ὅ ἐστι πικρίς. ἐπιτήδειος δὲ καὶ ὁ τῆς κράμβης ἀσπάραγος καὶ ὁ ἕλειος καὶ τὸ λάπαθον τὸ κηπαῖον καὶ τὸ ἄγριον καὶ τὸ ὀξυλάπαθον καὶ τῶν ἰχθύων οἱ ἁπαλόσαρκοι καὶ ἀστακοὶ καὶ καρκῖνοι καὶ ἐχῖνοι πρόσφατοι μετ᾽ οἰνομέλιτος· κρεῶν δὲ τὰ ἄκρεα καὶ ὄρνιθες πάντες οἱ ὄρειοι καὶ εὔπεπτοι καὶ εὔχυμοι, οἶνος λευκὸς καὶ λεπτὸς μὴ πάνυ παλαιός· προφυλακῆς δὲ χάριν κατ᾽ ἐνιαυτὸν ἐγγίζοντος τοῦ καιροῦ προκαθαίρεσθαι δεῖ τῇ ἱερᾷ καὶ ἐνστάσης δὲ τῆς ἡμέρας λαμβάνειν τῆς θηριακῆς ἀντιδότου ἐπὶ ἡμέρας τρεῖς. Περὶ φλεγμονῆς ἐγκεφάλου.

25 φλεγμαίνων ὁ ἐγκέφαλος οἰδᾷ πολλάκις, ὥστε καὶ τὰς ἐν τῇ κεφαλῇ ῥαφὰς διίστασθαι. καὶ ὀδύνην μεγίστην καὶ διακαῆ ἐπιφέρει θλιβομένων τῶν μηνίγγων. παρέπεται δὲ καὶ ἄση πολλὴ τοῦ στομάχου καὶ χολῆς ἔμετος ἔρευθός τε πολὺ κατὰ τοῦ προσώπου συνίσταται καὶ οἱ ὀφθαλμοὶ προπετεῖς γίγνονται καὶ οἰδᾷ τὸ πρόσωπον καὶ ἡ κεφαλὴ πᾶσα. φλεβοτομεῖν δὲ χρὴ τούτους ἀπ᾽ ἀγκῶνος· δεῖ δὲ καὶ ἀπὸ ῥινῶν καὶ τῶν ὑπὸ τὴν γλῶτταν φλεβῶν αἷμα κενοῦν. χρῶ δὲ καὶ ταῖς πρὸς φλεγμονὰς κατὰ τῆς κεφαλῆς διαβροχαῖς καὶ καταπλάσμασι τοῖς ὑγραίνειν καὶ πεπαίνειν δυναμένοις. Περὶ ἐρυσιπέλατος ἐγκεφάλου.

26 γίγνεται δὲ καὶ ἐρυσίπελας ἐν ἐγκεφάλῳ καὶ πάσχει ὁ κάμνων τάδε· ἀλγεῖ τὴν κεφαλὴν πᾶσαν καὶ δοκεῖ φλόγα ἐν αὐτῇ ἔχειν καὶ τὸ πρόσωπον αὐτοῦ ψυχρόν ἐστι καὶ τὰ ὑποχόνδρια καὶ ξηραίνεται τὸ στόμα. φλεβοτομητέον οὖν καὶ τούτους καὶ μάλιστα τὰς ὑπὸ τὴν γλῶτταν φλέβας δίελε καὶ πρόσφερε ἔξωθεν τῇ κεφαλῇ τὰ ψύχοντα χρίσματα καὶ τροχίσκους δὲ οἷς ἐπὶ τῶν ἐρυσιπελάτων χρώμεθα. Περὶ ἀποπληξίας ἐκ τῶν Γαληνοῦ.

27 ἡ ἀποπληξία διὰ τὴν ἐξαίφνης γένεσιν ἐνδείκνυται χυμὸν ψυχρὸν ἢ παχὺν ἢ γλίσχρον πληροῦντα τὰς κυριωτέρας τῶν κατὰ τὸν ἐγκέφαλον κοιλιῶν, οὐ κατὰ δυσκρασίαν ὅλης τῆς οὐσίας αὐτοῦ γίγνεσθαι. τεκμαίρου τοίνυν τὸ μέγεθος τοῦ κινδύνου τῷ μεγέθει τῆς κατὰ τὴν ἀναπνοὴν βλάβης. ὅταν γὰρ ἱκανῶς ἐμποδιζομένην ἴδοις τὴν ἀναπνοὴν καὶ μόγις γιγνομένην, οὐ σμικρὰν τεκμαίρου τὴν νοσώδη διάθεσιν τῷ ἐγκεφάλῳ γεγονέναι. ἔστι δὲ ἡ ἀποπληξία ἀναισθησία καὶ ἀκινησία τοῦ παντὸς σώματος μετὰ βλάβης τῶν ἡγεμονικῶν ἐνεργειῶν αἰφνιδίως ἐπιπίπτουσα. Περὶ ἀποπληξίας ἐκ τῶν Ἀρχιγένους. τὸ τῆς ἀποπληξίας πάθος μέγα τέ ἐστι τῇ φύσει καὶ δεινῶς ὀξὺ καὶ συμβαίνει τοὺς τὸν κίνδυνον ἐκφεύγοντας πρῶτον μὲν χρονίῳ περιπεσεῖν νόσῳ, παραλύσεως τινῶν μορίων ἢ καὶ τοῦ παντὸς σώματος ἀπολειπομένης ἢ καὶ τῆς διανοίας ἀπομωρώσεως. πρεσβύταις δὲ μᾶλλον τὸ πάθος συμπίπτει καὶ ἐν χειμῶνι μᾶλλον καὶ καταστάσει ψυχρᾷ καὶ ἐξ ἀπεψιῶν σφοδρῶν καὶ ἐγκαύσεων καὶ οἰνώσεων ἀμέτρων· καταψύχει γὰρ τὰ τοιαῦτα τὴν ἕξιν καὶ ἁπλῶς εἰπεῖν οἱ τῷ πάθει περιπεσόντες ζῶντές εἰσι μετὰ νεκρώσεως ἢ καὶ παντελοῦς ἀναισθησίας. πρῶτον μὲν οὖν τὸ σῶμα ἐλαίῳ θερμῷ λιπαίνειν, τὴν δὲ κεφαλὴν ἐμβρέχειν ῥοδίνῳ μετ᾽ ὄξους. προαφεψεῖν δὲ τῷ ὄξει ἕρπυλλον ἢ σπονδύλιον καὶ ὀσφραντὰ δὲ προσάγειν καστόριον καὶ ὀποπάνακα χαλβάνην. διανοίξαντας δὲ τὸ στόμα μελίκρατον ἐνστάζειν καὶ πτερὰ μάλιστα ἐλαίῳ κυπρίνῳ ἢ ἰρίνῳ ἢ ναρκισσίνῳ διάβροχα καθιέναι καὶ ἔμετον ἐρεθίζειν καὶ τὴν ἕδραν διαχρίειν συνεχῶς πηγάνῳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ κυμίνῳ μετὰ νίτρου καὶ μέλιτος, προσκαλουμένους τὰ πνεύματα. εἰ δὲ μηδὲν ἀνύῃ ταῦτα, χρῆσθαι κλυστῆρσι δι' ἀφεψήματος πιτύρων καὶ σικύου ἀγρίου ῥίζης καὶ κενταυρίου νίτρου τε καὶ μέλιτος ἢ ἅλμῃ σὺν μέλιτι καὶ ἐλαίῳ πηγανίνῳ. ἀγωνιστέον δὲ ὅπως ἐκδοθῇ τὸ ἐνεθέν, τρίβοντας τὴν ὀσφὺν καὶ τὴν κοιλίαν καί, εἰ δέοι, καὶ δακτύλους ἐν τῇ ἕδρα καθιέναι καὶ τὰ ἐμφράγματα κομίζειν. τούτων δὲ πραχθέντων φλεβοτομεῖν χρὴ προειπόντας ὑπὲρ τοῦ κινδύνου. ἡ δὲ ἀφαίρεσις τῆς δεξιᾶς χειρὸς γιγνέσθω καὶ μεμερίσθω τὸ πλῆθος τοῦ ἐκκρινομένου. συγκινεῖν σε γὰρ χρὴ μόνον, οὐ καταλῦσαι τὴν δύναμιν καὶ τὸ θερμὸν ἀποσβέσαι. ἐφορᾶν δὲ δεῖ καὶ τοὺς σφυγμοὺς ἐν τῇ κενώσει καὶ τὸ χρῶμα τοῦ προσώπου καὶ τὴν ἀναπνοήν· καὶ εἰ μηδὲν χεῖρον ἐπακολουθοίη, καὶ ἐπαφαιρεῖν. μετὰ δὲ τὴν φλεβοτομίαν ὀσφραντὰ διεγερτικὰ προσάγειν καὶ ἐμβοᾶν. τό τε σῶμα ὅλον λελιπάνθω· καὶ εἴ τι μέλος παρεθείη ἐπισήμως, πιλήμασι κατειλήφθω τοῖς ἀπὸ Σικυωνίου ἢ λιπαροῦ τε καὶ παλαιοτέρου ἐλαίου. τοὺς δὲ οὐκ ἐπιτηδείως ἔχοντας πρὸς φλεβοτομίαν πρῶτον μέν, ὡς εἴρηται, τὸν ἔμετον κινήσαντες καὶ διαχρίσαντες τὴν ἕδραν, ὡς εἴρηται, τοῖς πνευμάτων ἀγωγοῖς, σικύαις διασείειν ἐπειράθημεν μετὰ τὰ διαχρίσματα, ὄπισθεν κατὰ τῶν κενεώνων ἤτοι λαγόνων κολλήσαντες μεγάλας καὶ σφοδρὰς καὶ χρόνον τινὰ παρελκύσαντες μετεθήκαμεν αὐτὰς ἑκατέρωθεν περὶ τὸ ἦτρον φέροντες. ἐξέθλιψαν γὰρ πολλάκις τὰ κατὰ τὴν κοιλίαν καὶ ἅμα ὑπὸ τῆς θλίψεως ἀνεκαλέσαντο τοὺς κατειλημμένους. μηδὲν δὲ ἀνυουσῶν, αὐτοῖς ποτε ἐτολμήσαμεν ἐγχέαι τῷ στόματι τῆς ἱερᾶς. ἀδυνατούντων δὲ παραδέχεσθαι ὅσον δεῖ διὰ κλυστῆρος ἐνείκαμεν καὶ πρὶν φθάσαι τὰ τῆς ἐκδόσεως, συνδραμόντα ἀνεκαλέσαντό μοι τὸν μεταχειρισμόν. καὶ ἐπιτρέπει τὸ πάθος καὶ ἀναγκάζει παραβόλως ἐπιχειρεῖν.

27 (50) ταῦτα μὲν οὖν ὡς ἐπὶ τῆς ἀνάγκης οἰκονομεῖται. δυνηθέντων δὲ ἀνενεγκεῖν, συναπτέα τὰ λοιπὰ βοηθήματα. πυρετὸς μέντοι καταλαμβάνει τοὺς μὲν ἐπὶ τῇ πρώτῃ τῶν ἡμερῶν ἢ τῇ δευτέρᾳ καὶ γίγνεται πρὸς ἐλπίδα τῆς σωτηρίας ἡ τοῦ πυρετοῦ συμφορά, ἀλλ' οὐδ' ἀμελητέον· ἀλλ' ὑποκειμένων τινῶν τοῖς ἐντέροις κομίσασθαι ταῦτα προσήκει. εἰ μὲν κάτω εἴη ῥοπή, διὰ κλυστῆρος, εἰ δὲ μετέωρα, ὑπηλάτῳ φαρμάκῳ καὶ μάλιστα τῇ ἱερᾷ Ἀρχιγένους· μετὰ δὲ τὰς καθάρσεις σικυαστέον τὸ ὑποχόνδριον καὶ τὴν κεφαλὴν μετ' ἐγχαράξεως. εἰ δέ τις παράπρησις καὶ κατωτέρω φαίνοιτο, ἀμυκτέον κἀκεῖθεν, μάλιστα δὲ ἐπὶ γυναικῶν κατὰ τὴν τῆς ὑστέρας χώραν. εἰ δὲ εἰς ἕτερόν τι πάθος ἡ μετάπτωσις γένηται, τὴν θεραπείαν πρὸς ἐκεῖνο ἁρμόζειν. καθόλου δὲ προνοητέον ἐπὶ τῶν ἀποπλήκτων εὐκόλου τῆς κατὰ κοιλίαν ἐκκρίσεως καὶ δι' οὔρων· φροντιστέον δὲ τοῦ λαμβάνειν σιτία καθ' ἡμέραν μέν, ὀλίγα δὲ καὶ κοῦφα καὶ θερμὰ καὶ σμηκτικὰ ἡδυνθέντα μέλιτι τὰ πολλά, ἀλλὰ χυλώδη. Περὶ παραλύσεως ἐκ τῶν Ἀρχιγένους.

28 πάντων μὲν ἅμα τῶν νεύρων ἀπολεσάντων αἴσθησίν τε καὶ κίνησιν, ἀποπληξία τὸ πάθος ὀνομάζεται· κατὰ θάτερον δὲ μέρος, ἤτοι 〈τὸ〉 δεξιὸν ἢ τὸ ἀριστερόν, εἰ συμβαίη, παράλυσις καλεῖται, τοῦ μέρους ἐκείνου δηλονότι καθ' ὃ συνέστη. συνίσταται δὲ τὸ πάθος ὑγρῶν πολλῶν γλίσχρων καὶ παχέων ἐμφραττόντων τὰ νεῦρα, δι' ὧν αἱ κατὰ προαίρεσιν κινήσεις ἐκτελοῦνται. πρόδηλον οὖν ὡς ἐκκενῶσαι δεῖ τὸν πλεονάζοντα χυμόν. οὐκ ἔστι δὲ ἐπὶ τούτων ἀρχὴν ἐπιτηδειοτέραν εὑρεῖν τῆς ἀπὸ φλεβοτομίας, εἴ γε ἐπιτρέπει ἡ ἡλικία ἡ ἕξις ἡ ὥρα καὶ τὸ ἐπιτήδευμα καὶ ἡ προγεγραμμένη δίαιτα καὶ τὰ λοιπὰ τὰ 〈μηδαμῶς〉 κωλυτικὰ τῆς φλεβοτομίας. δεῖ δὲ σύμμετρον τὴν ἀφαίρεσιν ποιεῖσθαι, ὥστε μὴ καταψυγῆναι· ψῦξις γάρ, καθὼς προείρηται, σὺν ξηρότητι ἀποτελεῖ τὸ πάθος, ὥστε μόνον ἐλαττωτέον ἐπ' ὀλίγον τὴν ὕλην διὰ τῆς φλεβοτομίας, καὶ μάλιστα εἰ προβεβηκότες εἶεν τῇ ἡλικίᾳ. γιγνέσθω δὲ ἡ ἀφαίρεσις ἀπὸ τῶν ὑγιεινοτέρων μερῶν· ἐν δὲ τῷ καιρῷ τούτῳ κατεσκεπάσθαι χρὴ τὰ μέλη πιλήματι βεβρεγμένῳ ἐλαίῳ Σικυωνίῳ ἢ γλευκίνῳ. ἐπὶ δὲ τῶν προβεβηκότων καὶ καστόριον ἐμπάσσειν τῇ ἐμβροχῇ. ἐπὶ δὲ τῶν αἰφνιδίως παρεθέντων, οἷον ἐξ ἐγκαύσεως, ἀμείνων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐμβροχὴ ἡ δι᾽ οἰσυπηρῶν ἐρίων καὶ ἐλαίου καὶ ὄξους, ἐνίοτε δὲ καὶ νίτρου· δεῖ δὲ πολλάκις νεαροποιεῖν τὴν ἐμβροχήν. ὀλιγοσιτία δὲ παραλαμβανέσθω· ἔστω δὲ ῥοφήματα χόνδρου πλυτοῦ καὶ πτισσάνης χυλοῦ· διαγενομένων δὲ ἡμερῶν τινων ἀπὸ τῆς φλεβοτομίας ἡ κοιλία ὑποσυρέσθω κλυστῆρσι πρῶτον, ἔπειτα δὲ καὶ δι᾽ ἀλόης καὶ πολυποδίου καὶ κολοκυνθίδος ἀποβρέγματι καθαίρειν. ἁρμόσει δὲ καὶ ἡ ἱερὰ Ἀρχιγένους πρὸς δύναμιν λαμβανομένη· μετὰ δὲ τὴν κάθαρσιν σικυαστέον τὰ πεπονθότα μέρη· εἰ δ᾽ ἀνεπιτήδεια ταῦτα, τοῖς γειτνιῶσι κολλητέον αὐτάς· μετὰ δὲ τὰς σικύας καταπλάσμασι χρῆσθαι [τοῖς διὰ λινοσπέρμου καὶ τήλεως καὶ κριθίνης σὺν ἐλαίῳ παλαιῷ ἑψόμενα καὶ μιγνύμενα μετὰ τῶν καταπλασμάτων ἢ καὶ ἀλειφόμενα] προσειληφόσι πίσσαν ῥητίνην μάννην, ἐνίοτε δὲ καὶ ἄσφαλτον. ἄκρως δὲ ποιεῖ ἀρτεμισία συνεψομένη καὶ καλαμίνθη καὶ πήγανον καὶ κόνυζα, ὕστερον δὲ καὶ νίτρον παραμίγνυμεν. καὶ ἐν ἅλμῃ τὰ καταπλάσματα ἑψοῦμεν. ὀλίγον δὲ δεῖ τὸ ὕδωρ εἶναι, ὃ καὶ αὐτὸ ἐν τῇ ἑψήσει ἀναλισκέσθω. ἁρμόζει δὲ ἀντὶ τοῦ λινοσπέρμου παραλαμβανόμενον μετὰ ταῦτα τὸ αἴρινον ἄλευρον καὶ τὸ κυάμινον. κάλλιστον δὲ καὶ τὸ ἐρύσιμον, εἶτα κηρώματα καὶ συγχρίσματα παραλαμβάνειν. ἡ κοιλία δὲ ἀεὶ εὔλυτος ἔστω. Συγχρίσματα καὶ ἐπιθέματα καὶ πόματα. συγχρίσματα δὲ ἐπιτήδειά ἐστι τὰ τοιαῦτα· ἐλαίῳ τινὶ τῶν προειρημένων σκίλλαν ταριχεύειν δεῖ ἐν ἡλίῳ ἐπὶ ἡμέρας μ , εἰ δὲ μὴ παρείη τοιοῦτον, ἑψῆσαι πρὸς τὸ παρὸν 𐆃 β τῆς σκίλλης ξεστία ἐλαίου, ὁμοίως δὲ καὶ τῷ κάγχρυι κεχρῆσθαι· προσπλέκειν δὲ κηροῦ βραχὺ καὶ χαλβάνης καὶ προπόλεως, ἐνίοτε δὲ καὶ καστορίου ὅσον 𐆃 α καὶ ἀδάρκης καὶ εὐφορβίου ἀνὰ < δ καὶ νίτρου < δ ἐμβάλλειν τῷ εἰρημένῳ συγχρίσματι· εὐθετεῖ δὲ ἄκρως καὶ ἡ βατράχιος βοτάνη ὁμοίως σκευαζομένη. δῆλον δὲ ὅτι ἀπὸ τῶν πραοτέρων ἄρχεσθαι προσήκει, καὶ τὰ κηρώματα δὲ ἐκ τούτων σκευάζειν, προσεμβάλλοντες πύρεθρον δαφνίδας νίτρον νᾶπυ. μαλάγματα δὲ ἁρμόσει τὸ διὰ δαφνίδων καὶ τὸ χλωρόν, πολλάκις δὲ ἤρκεσεν κυπρίνη κηρωτὴ ἀναλαβοῦσα νᾶπυ δαψιλὲς τὴν μαλάγματος παρασχεῖν χρείαν. εὐθετεῖ δὲ καὶ σμήγματα διὰ τρυγὸς οἴνου ἢ ὄξους κεκαυμένης καὶ ἀδάρκης εὐφορβίου τε καὶ ἀσβέστου σκευαζόμενα καὶ οἱ δρώπακες δὲ αὐτοῖς χρησιμώτατοι. [45]

28 (50) κοῦφα δὲ ἔστω πάντα τὰ ἐπιτιθέμενα διὰ τὴν τῶν σωμάτων ἀσθένειαν. ἀνακαλεῖται δὲ τὰς αἰσθήσεις καὶ θαψία καταχριομένη σὺν ὕδατι ἢ ὄξει μετὰ τοὺς δρώπακας καὶ τὸ διὰ κανθαρίδων κατάπλασμα. τάχιον δὲ δεῖ τὰς ἐκ τῶν τοιούτων γιγνομένας ἑλκώσεις ἀπουλοῦν καὶ σιναπισμοὶ δὲ ἐπ᾽ αὐτῶν χρήσιμοι καὶ μετὰ ταῦτα βαλανεῖον. χρηστέον δὲ καὶ ποτήμασιν ἁρμοδίοις· τό τε οὖν καστόριον ἄκρως ἁρμόζον αὐτοῖς συνεχῶς διδόσθω μετὰ μελικράτου < α καὶ ὀποπάναξ ὅσον κυάμου μέγεθος σὺν τῷ καστορίῳ καὶ σαγαπηνοῦ ὅσον ὀρόβου μέγεθος καταπίνειν, καὶ ὀπὸν Κυρηναικὸν τὸ αὐτὸ μέγεθος καταπίνειν καὶ ἀφέψημα δὲ κλημάτων ἀμπέλου χλωρῶν πινόμενον νῆστις συνεχῶς σφόδρα βοηθεῖ τοῖς παρειμένοις μέρεσι τοῦ σώματος. χρησιμωτάτη δὲ μετὰ τὰς καθάρσεις καὶ τὰς ἄλλας κενώσεις καὶ ἡ διὰ ἐχιδνῶν θηριακὴ ἀντίδοτος διδομένη καὶ ἡ Μιθριδάτειος· ἔστι δὲ καὶ ἁπλούστερον φάρμακον σφόδρα μοι δεδοκιμασμένον πρὸς τὰς τοιαύτας διαθέσεις τοῦτο· καστορίου πηγάνου ἀγρίου σπέρματος ὀποπάνακος ἀνὰ ὀβολοὺς β πυρέθρου ὀβολὸν α ἀκόρου τὸ ἴσον πεπέρεως κόκκους ι μεθ᾽ ὑδρομέλιτος κυάθων β , δίδου τὸ ἥμισυ τοῦ παντὸς τὴν πρώτην, εὐτονήσαντι δὲ τὸ ὅλον. ἡ δὲ σύμπασα θεραπεία ἀπὸ κεφαλῆς ἄρχεσθαι δεήσει· αὕτη γὰρ ῥίζα καὶ ἀρχὴ τῆς ὅλης ἐστὶ διαθέσεως. διόπερ τά τε συγχρίσματα αὐτῆς καστόριον ἔστω καὶ πευκέδανον καὶ δαφνίδες καὶ ἡδύοσμον· ὄξους δὲ βραχὺ δριμέος προσειληφέτω καὶ ἰρίνῳ μύρῳ ἀναλαμβανέσθω, ὡς ἔχειν κηρωτῆς ὑγροτέρας πάχος καὶ ἐναλειφέσθω πᾶσα ἡ κεφαλὴ ἄχρι μετώπου. καὶ ὀσφραντὰ δὲ τοῦ αὐτοῦ γένους προσαγέσθω. τῆς δὲ κοιλίας ἐνεργεστέρῳ κλύσματι προκενωθείσης καὶ ἤδη ἀπεριττοτέρου τοῦ παντὸς σώματος ὄντος σικυαζέσθω ἡ κεφαλὴ μετ᾽ ἀμύξεως, τὴν μὲν πρώτην ἱκανὸν αἷμα δυναμένης ἀποκρῖναι, ὕστερον δὲ μετριώτερον· πλεονάκις δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παραληπτέον τοῦτο τὸ βοήθημα, ἐν κύκλῳ μὲν τῇ κεφαλῇ περιτιθεμένων τῶν σικυῶν κούφων καὶ ἐφεξῆς κολλωμένων τοῖς τόποις· οὐδὲν γὰρ χεῖρον ἐπαφαιρέσεως ὠφελεῖ οὕτως προσαχθέν. κουρὰ δὲ μὴ μόνον τῶν σικυῶν χάριν, ἀλλὰ καὶ καθ’ ἑαυτὴν συνεχῶς παραλαμβανέσθω. εἰ δὲ τὸ περιέχον μὴ εἴη ψυχρόν, καὶ ξύρησις ὠφέλιμος. εὐθὺς δὲ τοῖς εἰρημένοις συγχρίσμασιν ἐπ’ ὀλίγον ἀνατριπτέον τὴν κεφαλήν. προσαφειλκυσμένης δὲ τῆς ὕλης καὶ πταρμικοῖς χρῆσθαι καὶ ἀποφλεγματισμοῖς. ἐγὼ δὲ καὶ ἐσχάρας ἐμβαλεῖν οὐκ ὀκνήσαιμι διὰ φαρμάκου, μίαν μὲν κατὰ τὸ κοῖλον τοῦ ἰνίου, καθ’ ὃν τόπον ὁ νωτιαῖος ἔχει τὴν ἀρχήν, δύο δὲ ἑκατέρωθεν αὐτοῦ, τρία δὲ ἢ τέσσαρα αὐτοῦ κατὰ τῆς κορυφῆς, μίαν μὲν κατὰ τὸ μεσαίτατον τῆς κεφαλῆς, τρεῖς δὲ ἐν κύκλῳ. ῥευματισθέντων δὲ ἐπὶ πολὺ τῶν ἑλκῶν, οὐκ ἀπελπίζω τελείαν ἀποκατάστασιν. ἡ δὲ λοιπὴ δίαιτα ἔστω λεπτυντικὴ καὶ εὐκοίλιος μηδὲ γλίσχρον ἢ βρομῶδες ἔχουσα. καὶ οὐρητικὰ μάλιστα προσπλεκέσθω ταῖς τροφαῖς. χρηστέον δὲ καὶ τοῖς πρὸς ἐπιληψίαν προειρημένοις πόμασι καὶ τοῖς ἐπὶ τῶν ἀρθριτικῶν ῥηθησομένοις ἀλείμμασι. κοινὰ γὰρ ὄντα τὰ τοιαῦτα περιττὸν κἀνταῦθα αὐτῶν μνημονεύειν. δεήσει δέ ποτε καὶ τέλεον ἐλευθερῶσαι τοὺς τόπους γυμνώσαντας καὶ τῷ ἀέρι παραδώσαντας· ἐνίοις γὰρ καὶ κατὰ τοῦτον τὸν καιρὸν ἀρχὴ τῆς ἐπιλήψεως τῶν ἐνεργειῶν γέγονεν. Πόμα πρὸς παρέσεις καὶ τρόμους καὶ ὀπισθοτονικούς. ὀποῦ Κυρηναικοῦ πεπέρεως χαλβάνης ἀνὰ < α διαλύσας γλυκεῖ, ποίει καταπότια καὶ δίδου ὀβολοὺς β καὶ ἐπιρροφείτωσαν ὑδρομέλιτος κοχλιάρια γ . Ἄλλο. σμύρνης καστορίου στύρακος πεπέρεως ἴσα χρῶ < καὶ μελικράτου ἐπιρροφείτωσαν.

28 (100) Πόμα παρέτοις τρομώδεσιν ὀπισθοτονικοῖς. ὀποπάνακος σαγαπηνοῦ καστορίου σμύρνης ὀποῦ Κυρηναικοῦ πεπέρεως πηγάνου ἀκρεμόνων ἀνὰ < α · σκεύαζε καταπότια καὶ δίδου < καὶ ἐπιρροφείτωσαν μελικράτου κυάθων γ . Περὶ ὀφρύος ἢ βλεφάρου παραλύσεως.

29 ὀφρὺς δὲ ἢ βλέφαρον εἰ παρεθείη, θεραπευθήσεται καταχρίσμασι θερμοτέροις καὶ δριμυτέροις κατὰ τοῦ μετώπου· τὸ δὲ βλέφαρον τῷ διὰ σάνδυκος καὶ θαψίας χυλῷ ἐπιχριέσθω. κάλλιστον δὲ ἐπ’ αὐτῶν καὶ μάλιστα ἐπὶ ὀφρύος χαλασθείσης τοῦτο· μαστίχην λεάνας μετὰ χυλοῦ κράμβης ἀπλύτου καὶ ἀνατείνας τὸ τοῦ μετώπου δέρμα, ἐπίχριε τὸ μέτωπον παχύτερον. ἐπιμένοντος δὲ τοῦ πάθους τὸ μὲν βλέφαρον ἀναρραφὴ ἰᾶται, τὴν δὲ ὀφρὺν ταινιδίου ἀφαίρεσις ἀπὸ μετώπου. Περὶ κυνικοῦ σπασμοῦ.

30 κυνικὸν σπασμὸν καλοῦσι τὴν τῶν σιαγονιτῶν μυῶν παράλυσιν. παράγεται μὲν οὖν εἰς τὰ πλάγια τό τε στόμα καὶ ἡ ῥὶς καὶ ὁ ὀφθαλμὸς καὶ ἁπλῶς εἰπεῖν τὸ ἥμισυ μέρος τοῦ προσώπου. τὰ μὲν οὖν βοηθήματα τῷ παρεθέντι μέρει προσαγέσθω, οὐ τῷ ἀντικειμένῳ· πλανῶνται γάρ τινες ὑπολαμβάνοντες ἕλκεσθαι τὴν σιαγόνα ὑπὸ τῆς ἀντικειμένης. κοινῶς μὲν οὖν καὶ ἐπ’ αὐτῶν εὐθετεῖ τὰ προειρημένα ἐπὶ τῆς παραλύσεως ἅπαντα· καὶ γὰρ ἀφαίρεσις αἵματος, εἰ μηδὲν κωλύοι, καὶ κάθαρσις καὶ κλυστὴρ καταπλάσματά τε καὶ συγχρίσματα καὶ μαλάγματα καὶ σιναπισμοὶ καὶ κατάχρισις θαψίας, ἰδίως δὲ ἐπίδεσις ἡ εἰς τὰ ἀντικείμενα παράγουσα καὶ ἀφαίρεσις ἐκ τῶν ὑποκειμένων ἀγγείων τῶν ὑπὸ τὴν γλῶτταν καὶ σικύα κατὰ τοῦ πρώτου καὶ δευτέρου σπονδύλου ἐπιτιθεμένη καὶ ἀποφλεγματισμοὶ καὶ ἔρρινα. ἤδη δὲ καὶ κατὰ τοῦ πεπονθότος ὀφθαλμοῦ ἐπιχρίστοις δριμέσι χρῆσθαι, μάλιστα δὲ τῷ διὰ σάνδυκος καὶ θαψίας χυλοῦ κολλυρίῳ. Γλώσσης παρεθείσης θεραπεία.

31 εἰ δὲ γλῶσσα παρεθείη, τὰς ὑπ’ αὐτὴν φλέβας τέμνειν πρότερον κενώσας τὸ πᾶν σῶμα καὶ σικύας ὑπὸ τὸν ἀνθερεῶνα τιθέναι καὶ ἀποφλεγματισμοῖς χρῆσθαι καὶ διακλύσμασι τοῖς διὰ νάπυος γυμνασίοις τε τῆς γλώσσης καὶ τὰ λοιπὰ προσάγειν τῷ τένοντι καὶ τῷ τραχήλῳ παντί, οἷον ἐπίχριστα δριμέα καὶ ἐπιθέματα καὶ σιναπισμούς. Περὶ τῆς τοῦ φωνητικοῦ παρέσεως.

32 παρίεται δὲ καὶ τὸ φωνητικὸν ὄργανον ἔνδοθεν, λέγω δὴ οἱ τῆς φάρυγγος μύες, μάλιστα δὲ οἱ τοῦ λάρυγγος, ἤδη δὲ καὶ οἱ τοῦ θώρακος ἀνώτεροι. κατοχὴ μὲν οὖν ἐπ’ αὐτῶν γίγνεται τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πνεύματος· τινὲς δὲ ἰσχνόφωνοι γίγνονται, ἕτεροι μογίλαλοι, τουτέστιν οἱ μόγις λαλοῦντες καὶ ἄλλοις ἄλλως παραποδίζεται ἡ φωνή. μετὰ τὰ καθολικὰ τοίνυν βοηθήματα καὶ τῷ θώρακι καὶ τῷ τραχήλῳ προσαγέσθω τὰ βοηθήματα, ἃ προκατηριθμήμεθα· ἤδη δὲ καὶ ἀναγαργαρίσματα δριμέα δοτέον. ἰδίως δὲ ἐπ’ αὐτῶν χρῆσθαι πνεύματος κατοχῇ καὶ ἀθρόᾳ ἐκπνοῇ καὶ ἀναφωνήσει ἐμμελεῖ καὶ μετὰ ταῦτα τῇ διαίτῃ καὶ γυμνασίοις ῥωννύναι τὸ σύμπαν σῶμα. Καταπόσεως παραλυθείσης θεραπεία.

33 εἰ δὲ ἡ κατάποσις παρεθείη (τουτέστιν ἡ ἐνθετικὴ τῶν σιτίων προθυμία, ὁ γὰρ στόμαχος εἰ παρεθείη ὄλεθρον ἐπιφέρει), παραλαμβάνειν μὲν οὖν τὰ θερμὰ πάντα, ἰδίως δὲ σπουδάζειν ἐντιθέναι τὰ σιτία ὡς ὅτι ἐσωτάτω ὑπὲρ τοῦ μὴ ἐμπίπτειν εἰς τὴν τραχεῖαν ἀρτηρίαν καὶ σικύας τῷ ἀνθερεῶνι ἐπιτιθέναι καὶ διαχρίστοις τῶν κατὰ παρίσθμια μερῶν χρῆσθαι δριμείαις ταῖς διὰ καστορίου σαγαπηνοῦ ὀποῦ κυρηναικοῦ σκευαζομέναις. καὶ ἀναγαργαρίσματα διὰ νάπυος καὶ διαμασήματα φλεγμαγωγὰ καὶ ἔξωθεν προσάγειν τῷ ἀνθερεῶνι τὰ προλελεγμένα κοινὰ συγχρίσματα καὶ ἐπιθέματα. Κύστεως παρεθείσης θεραπεία.

34 ἡ δὲ τῆς κύστεως πάρεσις, εἴτε κατέχοι τὰ οὖρα εἴτε ἀπροαιρέτως ἐκκρίνοι, θεραπευθήσεται τοῖς αὐτοῖς βοηθήμασι τοῖς κοινοῖς κατά τε τοῦ ἤτρου καὶ μάλιστα τοῦ περινέου παραλαμβανομένοις, καθ’ ὃ μέρος τέτακται ὁ τράχηλος τῆς κύστεως, ὃν τόπον τινὲς σειρὰν καλοῦσι. χρηστέον δὲ πρὸς τοῖς εἰρημένοις κατὰ τοῦ ἤτρου ἐμβροχαῖς ναρδίνῳ μύρῳ καὶ μαλαβαθρίνῳ καὶ σουσίνῳ καὶ Σικυωνίῳ, ἐν ᾧ ἥψηται ἠρυγγίου ἡ ῥίζα κύπερα καρδάμωμον πήγανον. καὶ τὴν ἕδραν δὲ διαχριστέον τούτοις. μετὰ δὲ τὰ κοινὰ βοηθήματα καὶ διὰ τῶν εἰς τὸν δακτύλιον ἐνεμάτων σπουδαστέον ἀνακαλεῖσθαι τὰς τῆς κύστεως ἐνεργείας. ἔστι δὲ ταῦτα κατ’ ἀρχὰς μὲν καστόριον μετ’ ἐλαίου Σικυωνίου ἢ πηγάνου ἐνεψομένου ἐλαίῳ ἢ κυμίνου ἢ ἀνήθου, εἶτα τὸ διὰ κενταυρίου καὶ τῆς κολοκυνθίδος ἀφέψημα, νῦν μὲν ὕδατι, νῦν δὲ χυλῷ πτισσάνης συνεψομένων. καὶ ὁ τῆς ἀναγαλλίδος δὲ χυλὸς ἄριστα ποιεῖ καὶ ὀριγάνου καὶ θύμου ἀφέψημα. πᾶσι δὲ τὸ Σικυώνιον ἔλαιον μικτέον καὶ καστόριον, ἐνίοτε δὲ καὶ ὀποπάνακα, εἰ ψύξεως αἴσθησις αὐτοῖς προσγίγνεται, καὶ χαλβάνην ἐναποτήκειν. ἐνείκαμεν δὲ καὶ διὰ τοῦ καυλοῦ τὸ Σικυώνιον ἔλαιον μετὰ τοῦ καστορίου ἢ καὶ τοῦ ὀποπάνακος, ἐνίοτε δὲ καὶ τὸ σίλφιον ἐναφεψήσαμεν τῷ ἐλαίῳ. ἰδίως δὲ ἐπὶ τῶν κατεχόντων τὰ οὖρα καθετηρισμῷ χρησόμεθα καὶ μετὰ τὴν τοῦ ὑγροῦ ἀποκένωσιν, ἔτι ἐγκειμένου τοῦ καθετῆρος, τῶν προειρημένων τινὶ ἐνεματίσομεν, στενώτατον αὐλίσκον τῷ ἀσκίῳ κατασκευάσαντες δυνάμενον ἁρμοσθῆναι τῷ καθετῆρι· καὶ θαυμαστὴ ἐπιγίγνεται ὠφέλεια ἐκ τῆς μετὰ τὴν ἔκκρισιν τῶν οὔρων ἐνέσεως. χρῆσθαι δὲ ἐπ’ ἀμφοτέρων καὶ διουρητικοῖς ἐκ διαλειμμάτων—οἷόν ἐστι σίον σχοῖνος καὶ τὰ ὅμοια—καὶ σκιλλίνῳ ὄξει καὶ οἴνῳ σκιλλίνῳ. ῥηθήσεται δὲ ἔτι περὶ αὐτῶν ἐν τῷ περὶ τῶν τῆς κύστεως παθῶν λόγῳ καὶ κεφαλαίῳ κη . Καυλοῦ παρεθέντος ἐπιμέλεια.

35 ἐπὶ δὲ τῆς τοῦ καυλοῦ παρέσεως αἱ μὲν τοῦ οὔρου ἐκκρίσεις οὐκ ἐμποδίζονται, ἡ δὲ τοῦ σπέρματος ἔκκρισις καὶ ἡ συνουσία ἐμποδίζεται. χρὴ μὲν οὖν τοῖς ἐπὶ τῆς κύστεως βοηθήμασι χρῆσθαι, ἐξαιρέτως δὲ νῦν καὶ κατὰ τῶν ἰσχίων τὰ θερμάσματα προσάγειν, ἤδη δὲ καὶ τὰ ῥηθησόμενα ἐν οἰκείῳ τόπῳ ἐντατικὰ διδόναι. ποιεῖ δὲ σὺν τοῖς λοιποῖς καὶ τὸ αἰδοῖον τοῦ ἐλάφου προσδεσμούμενον μηρῷ, ὥσπερ ζώνη καὶ τὰ κρέα αὐτοῦ ἐσθιόμενα καὶ πολύποδες θαλάττιοι καὶ ἐχῖνοι καὶ τῶν πτηνῶν οἱ ψᾶροι· τὸ δὲ καστόριον ἐπὶ πάσῃ παρέσει ἐπιτήδειον. παραφυλάττεσθαι δὲ ἐπ’ αὐτῶν πάντα τὰ ψύχοντα ἐδέσματα καὶ πόματα. Ἀπευθυσμένου παρεθέντος θεραπεία.

36 καὶ τοῦ ἀπευθυσμένου δὲ παρεθέντος ὡς ἐπίπαν ἀροαιρέτως τὰ σκύβαλα ἐκκρίνεται, ἐνίοτε δὲ καὶ ἐπέχεται. καὶ τὰ βοηθήματα οὖν τὰ αὐτὰ ἔστω τὰ ἐπὶ τῆς κύστεως εἰρημένα, κατὰ τῶν ἰσχίων παραλαμβανόμενα. ἰδίως δὲ ἐπὶ τούτων διὰ κλυστῆρος ἐνίεμεν νῦν μὲν στύφοντα καὶ

τονωτικά, νῦν δὲ λιπαρὰ πραϋντικὰ καὶ αὖθις δάκνοντα καὶ ἀμύσσοντα· τό τε οὖν ἀφέψημα τῆς κυπαρίσσου καὶ τῆς βάτου στύφει, μάλιστα ὅταν ἐκκρίνῃ ἀμέτρως· ὕειον δὲ καὶ χήνειον στέαρ καὶ μαλάχινον ἔλαιον λιπαίνει μάλιστα, ὅταν κατέχοιτο τὸ σκύβαλον ἢ δριμύττοιτο· ἅλμη δὲ καὶ κολοκυνθίδος ἀφέψημα καὶ κενταυρίου καὶ ἀρτεμισίας καὶ κονύζης καὶ θύμου ἀμύσσει καὶ δάκνει. ποιεῖ δὲ ἄκρως καὶ τὸ τῆς ἀσφαλτίτιδος τριφύλλου ἀφέψημα. ἐὰν δὲ ψύξεως αἴσθησις εἴη, ἁρμόδιον τὸ σίλφιον καὶ γεντιανὴν καὶ βρυωνίας ῥίζαν καὶ σικύου ἀγρίαν ῥίζαν ἐμπάσσειν τοῖς κλύσμασιν. ἐγὼ δέ ποτε καὶ τὸ διὰ τοῦ εὐφορβίου ἄκοπον ἀνιεὶς παρέπεμψα διὰ κλυστῆρος μετὰ ἀφεψήματος τήλεως καὶ ἐπέτυχον. Ἐκ τῆς πρὸς Μάρσον ἐπιστολῆς Ἀρχιγένους. πόμα παραλυτικοῖς, περὶ οὗ φησιν οὕτως· „ἔστι δὲ καὶ λιτὸν φάρμακον σφόδρα μοι δεδοκιμασμένον πρὸς τὰς τοιαύτας διαθέσεις τοῦτο· καστορίου πηγάνου ἀγρίου σπέρματος ὀποπάνακος ἀνὰ ὀβολοὺς β πυρέθρου ἀκόρου ἀνὰ ὀβολὸν α πεπέρεως κόκκους ι μεθ’ ὑδρομέλιτος κυάθων δύο· δίδου τὸ ἥμισυ τὴν πρώτην, εὐτονήσαντι δὲ τὸ ὅλον“ [ὅτι ὁ ὀβολὸς ἔχει κέρατα τρία]. Σκέλους ἢ ἑτέρου τινὸς κώλου παρεθέντος ἐπιμέλεια.

37 εἰ δὲ σκέλος ἢ χεὶρ ἢ ἕτερον κῶλον παρεθείη, τὰ προειρημένα ἐπὶ τῆς παραλύσεως κοινὰ βοηθήματα παραλαμβανέσθω καὶ γυμνάσια σύμμετρα τὰ ἑκάστῳ μορίῳ ἁρμόδια. χρῆσθαι δὲ ἐπὶ πάσης παραλύσεως καὶ τοῖς ἀλείμμασι τοῖς ἐπὶ τῶν ἀρθριτικῶν ῥηθησομένοις. τροφαὶ δὲ ἐπὶ πάντων εὐδιοίκητοι ἔστωσαν λεπτυντικαὶ καὶ εὐκοίλιοι μηδὲν γλίσχρον ἢ παχύχυμον ἔχουσαι, οἶνος λεπτὸς καὶ λευκὸς καὶ μὴ πάνυ παλαιός. καθόλου δὲ φυλάσσεσθαι δεῖ φθορὰν ψῦξιν ἔγκαυσιν, ἀργίαν καὶ κόπον, συνουσίαν πολυοινίαν. Περὶ σπασμῶν ἢ τετάνων.

38 ὅταν εὐθὺς ἐξ ἀρχῆς ἢ οὐ μετὰ πολὺ τῆς ἀρχῆς τοῦ νοσήματος γίγνωνται σπασμοὶ καὶ διαμείνωσιν, ὑπὸ πληρώσεως ἔχουσι τὴν γένεσιν. ὅταν δὲ ἱδρώτων πολλῶν προγενομένων ἢ ἐμέτων ἢ διαχωρήσεων γαστρὸς ἢ αἱμορραγίας σφοδρᾶς ἢ λιμὸς ἢ κινήσεις σφοδραὶ καὶ πολλαὶ ἢ ἐπιτεταμένης ἀγρυπνίας, ἐπὶ ξηρότητι δηλονότι συνίστανται, καὶ ὅταν τινὶ τῶν ὑγιαινόντων ἐξαίφνης συμβῇ σπασθῆναί τινα τῶν μορίων, ἀναγκαῖον ἐπὶ πληρώσει γεγονέναι. εἰ δὲ ἐκ πυρετῶν διακαῶν ἐπιγένηται σπασμός, δηλονότι ἐπὶ σφοδρᾷ ξηρότητι τοῦ παντὸς σώματος καὶ μάλιστα τῶν νευρωδῶν μορίων γίγνεται, καί ἐστι τὸ τοιοῦτον μεγίστων κακῶν αἴτιον καὶ σχεδὸν ἀνίατον. ὅταν μὲν οὖν εἰς τὰ πρόσω τείνηται τὰ μόρια τοῦ σώματος, ἐμπροσθότονος καλεῖται· ὅταν δὲ εἰς τοὐπίσω, ὀπισθότονος· ὅταν δὲ ἰσοσθενῶς ἐφ’ ἑκάτερα τὰ μέρη τείνηται, τότε τέτανος ὀνομάζεται. τοὺς μὲν οὖν ἐπὶ σφοδρᾷ ξηρότητι σπασμοὺς οὐκ ἄν τις ἰάσαιτό ποτε· τοὺς δὲ διὰ πλῆθος ἢ φλεγμονὴν γιγνομένους ἰάσῃ, τὸ μὲν πλῆθος κενῶν, τὴν δὲ φλεγμονὴν τοῖς ἰδίοις αὐτῆς βοηθήμασι θεραπεύων. γίγνεται δέ ποτε σπασμὸς κἀπὶ τῶν σφόδρα σπαραττομένων ἐμέτοις, καὶ καθίσταται ἐμεθέντων τῶν λυπούντων. βοηθεῖ δὲ τοῖς ἐπὶ πλήθει σπωμένοις 〈ἀκανθίου ῥίζα〉 πινομένη, ἀκάνθης λευκῆς τὸ σπέρμα πινόμενον, κενταυρίου τοῦ λεπτοῦ ὁ χυλός, σέσελι μετ’ ὀξυκράτου· καστόριον δὲ οὐ μόνον πινόμενον, ἀλλὰ καὶ ἔξωθεν συγχριόμενον ἁρμόδιον. ταῦτα δὲ προσφέρομεν τοῖς ἐπὶ πλήθει σπωμένοις. Περὶ τοῦ τετάνου ἤτοι σπασμοῦ ἐκ τῶν Ἀρχιγένους.

39 τί μὲν σημαίνει τὸ τετάνου ὄνομα. ἤδη προείρηται. ἁλίσκονται δὲ τῷ πάθει καὶ ἄλλως μέν, καθὼς προείρηται, καὶ ἀπὸ τραυμάτων δὲ καὶ γυναῖκες ἐν ταῖς ἐκτρώσεσιν. οἱ δ’ ἐπὶ τραύματι γιγνόμενοι τέτανοι οὐ μάλα διασῴζονται. οὔτε δὲ νηπίοις οὔτε γέρουσιν ὁ τετανικὸς σπασμὸς γίγνεται· τοῖς γὰρ νηπίοις ἡ ἐπιληψία μᾶλλον ἐνοχλεῖ. οὔκουν μὴ ἀμελητέον, ἀλλὰ φλεβοτομεῖν, εἰ ἐπὶ τραύματι μάλιστα ὁ τέτανος γέγονε. πλῆθος δὲ ἀφαιρεῖν ἱκανὸν μέν, μὴ μέντοι μέχρι λειποθυμίας, καὶ τρέφειν χόνδρῳ μετὰ μελικράτου· ὀλίγον δὲ ἔστω τὸ διδόμενον. ὑδρελαίῳ τε λιπαρῷ χλιαρῷ συγχριστέον αὐτοὺς καὶ ἐμβιβαστέον μέχρι κατωτέρου τοῦ ὀμφαλοῦ. δεῖ δὲ καὶ προλιπανθῆναι καὶ τὰ μὴ βρεχόμενα μέρη καὶ μάλιστα καὶ τὴν κεφαλὴν καὶ σκέπτεσθαι καλῶς, ὅπως μὴ συμπληροῖτο. χρίσματα δὲ καὶ πιλήματα παραλαμβάνειν δι’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐλαίου σικυωνίου καὶ γλευκίνου ἰρίνου ἢ παλαιοῦ μύρα ἄκοπα συμμέτρως θερμαίνοντα, οἷον τὸ διὰ σαμψύχου τὸ δυσῶδες τὸ διὰ τῆς αἰγείρου καὶ τὰ παραπλήσια, ὧν αἱ συνθέσεις ῥηθήσονται ἐν τῷ περὶ τῶν ἀρθριτικῶν λόγῳ. ἐὰν δὲ μὴ ἀπὸ τραυμάτων, ἀλλ' ἀπὸ πληρώσεως γένηται ὁ τέτανος, μετὰ τὴν φλεβοτομίαν τοῖς ἀμυκτικωτέροις ἀλείμμασι κεχρῆσθαι, ὅσα ἀδάρκην ἔχει καὶ ὅμοια. εἶτα καταπλάσματα τοῖς πεπονθόσι τόποις προσάγειν, χαλᾶν καὶ διαφορεῖν δυνάμενα σὺν τῷ παρηγορεῖν· μάλιστα δὲ τοῖς κατὰ τὸν τράχηλον καὶ σιαγόνας μυσὶ καὶ τοῖς τῆς ῥάχεως ταῦτα προσάγειν. ἡ δὲ τούτων ὕλη τῆλίς ἐστι καὶ λινόσπερμον κρίθινον ἄλευρον αἴρινον. περιπεπλέχθω δὲ τερεβινθίνη ῥητίνη καὶ χαλβάνη καὶ μέλι ἱκανὸν καὶ ἔλαιον, ἐν ᾧ ἀφέψηται πήγανον ἢ κόνυζα ἢ ἀρτεμισία ἢ λιβανωτίς. συνεμπλασσέσθω δὲ ἐνίοτε καὶ ἀμμωνιακὸν θυμίαμα. εὐαφέστατα δὲ ἔστω καὶ κουφότερα τὰ καταπλάσματα. καὶ πυρία δὲ προσαγέσθω ὑποκειμένου τοῦ καταπλάσματος διὰ κύστεως εὐμεγέθους ἡμιπλήρους ἐλαίου θερμοῦ ἢ ἁλὸς φρυκτοῦ ἢ κέγχρου ἐν μαρσίποις. καὶ τὰ καταπλάσματα δὲ ἐν μαρσίποις ἐμβληθέντα ἐπιτιθέσθω ἕνεκα τοῦ ἀμολούντως πυριᾶν καὶ μάλιστα εἰ τῇ κεφαλῇ προστιθέναι δέοι. παραπεφυλάχθαι δὲ τὰς συνεχεῖς ἐμβροχὰς ἐπὶ κεφαλῆς· πληρωτικαὶ γὰρ τυγχάνουσι. περιλαμβανέτω δὲ τὰ καταπλάσματα καὶ αἱ ἐμβροχαὶ αὐχένας σιαγόνας καὶ ῥάχιν ὅλην μέχρι ψοῶν. παραπεπάσθω δὲ ταῖς ἐμβροχαῖς καστόριον καὶ σικύαι μετ' ἀμύξεως προσκολλάσθωσαν τοῖς πεπονθόσι μέρεσιν ἅπασι. χρόνου δὲ ἐγγιγνομένου καὶ εἰς ἔλαιον ἐμβάσεις παραληπτέαι καὶ δὶς καὶ τρὶς τῆς ἡμέρας συμμέτρως. δεῖ δὲ τὸ μὲν πέμπτον μέρος τοῦ ἐλαίου πυρὶ θερμαίνειν, τὸ δὲ λοιπὸν ἐμβαλεῖν τῇ ἐμβάσει. κατασκευαζέσθω δὲ καὶ ὁ οἶκος θερμός· ποτὰ δὲ ἁρμόδια, τό τε κάλλιστον ὀξύμελι καὶ σιλφίου ῥίζης ἀφέψημα καὶ αὐτὴ λεία καὶ ὑσσώπου ἀφέψημα, ὀποῦ κυρηναικοῦ ὅσον ὄροβος καταπινόμενος, σμύρνης τρωγλίτιδος κυάμου μέγεθος καταπινόμενον. πάντων δὲ ἀπληκτότατον καὶ ἀνυσιμώτατόν ἐστι τὸ καστόριον λεῖον διδόμενον κοχλιάριον. μετὰ δὲ ταῦτα διαχρίσεις τῆς ἕδρας χρήσιμοι διὰ πηγάνου καὶ ὀποπάνακος. βοηθεῖ δὲ καὶ ἔνεσις ἐλαίου πηγανίνου μετὰ τερεβινθίνης. διδόναι δὲ αὐτοῖς καὶ τῆς Ἀρχιγένους ἱερᾶς < β μετὰ καστορίου ἴσου σὺν πτισσάνης χυλῷ καὶ μέλιτι· εἶτα τῶν ἄλλων τινὰ διδόναι ἢ αὐτὸ τὸ καστόριον καθ' αὑτό. Ἐκ τῶν Γαληνοῦ διορισμοὶ περὶ κεφαλαλγίας. [45]

40 ὅσοι μὲν οὖν ἔγραψαν ἄνευ διορισμοῦ κεφαλαλγίας ἰάματα, πλείονα βλάβην ὠφελείας εἰργάσαντο τοῖς πιστεύσασιν. οὐ γὰρ ἐν μιᾷ διαθέσει πάντες ἀλγοῦσι κεφαλήν, ἀλλὰ πλείους εἰσὶν αἱ διαθέσεις ἥ τε ἴασις ἑκάστης αὐτῶν ἰδία. μία μὲν γὰρ διάθεσίς ἐστι κατὰ δυσκρασίαν ἁπλῆν ἄνευ χυμῶν, ἑτέρα δὲ ἐπὶ τῇ τούτων ποιότητι, τρίτη δὲ διὰ τὸ πλῆθος αὐτῶν μόνον γιγνομένη, τετάρτη δὲ ὅταν ἐμφράξῃ τὸ πλῆθος τὰς διεξόδους τῶν τε ὑγρῶν καὶ τῶν ἀτμῶν, καὶ πρὸς ταύταις ἑτέρα, ὅταν δι' ἀσθένειαν ἔν τισι τῶν κατὰ τὴν κεφαλὴν μορίων πνεῦμα φυσῶδες ἐγγεννηθῇ. σφοδρόταται μὲν οὖν κεφαλαλγίαι γίγνονται κατὰ θερμότητα καὶ ψυχρότητα, μέτριαι δὲ κατὰ ξηρότητα, ταῖς δὲ ὑγρότησιν οὐδεὶς ἕπεται πόνος. ὡσαύτως δὲ κἂν ἐπὶ χυμοῖς πλεονάσασιν ἤτοι κατὰ πάντα τὰ μόρια τῆς κεφαλῆς ἢ καθ' ἓν ὁτιοῦν συνέβη τὸ ἄλγημα, καὶ σφοδρότερον μὲν ἐγγίγνεται διὰ τοὺς θερμούς τε καὶ ψυχροὺς χυμούς, μέτριον δὲ ἐπὶ τοῖς ξηραίνουσιν ἄνευ θερμότητος ἐπιφανοῦς. οἱ δὲ ὑγραίνοντες χυμοὶ ἀνώδυνοι τελέως εἰσίν, ὅσον γε ἐπὶ τῇ ποιότητι· διὰ γάρ τοι τὸ πλῆθος ἄνευ μὲν ἐμφράξεως βαρύνουσι τὴν κεφαλήν, σὺν ἐμφράξει δὲ ὀδύνας ἐπιφέρουσιν. ἐὰν δὲ δακνώδη ποιότητα τὸ πλῆθος ἔχῃ, αὐξήσει τὴν ὀδύνην. τὸ δὲ φυσῶδες καὶ ἀτμῶδες πνεῦμα διάτασιν ἐργάζεται χωρὶς δήξεως. Πρὸς κεφαλαλγίαν δι' ἔγκαυσιν ἢ θερμότητά τινα γιγνομένην· τὰς δὲ δι' ἔγκαυσιν ἤ τινα θερμότητα κεφαλαλγίας ἰᾶται τὰ ψυκτικὴν ἔχοντα δύναμιν ἄνευ τοῦ στύφειν ἐπιφανῶς· ἄριστα δὲ αὐτῶν ἐστιν ὅσα λεπτομερέστερα ταῖς οὐσίαις [αὐτῶν] ἐστί· διὸ κατ' ἀρχὰς οὐδὲν ἄμεινον τοῦ καλλίστου ῥοδίνου ψυχροτάτου γιγνομένου καὶ κατὰ τοῦ βρέγματος καταχεομένου. [5]

41

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔστω δὲ τὸ ῥόδινον αὐτοετὲς ἐξ ὀμφακίνου ἐλαίου ἁλῶν μὴ ἔχοντος ἐσκευασμένον. ἐφεξῆς δὲ τῷ ῥοδίνῳ τὸ χαμαιμήλινον ἔλαιόν ἐστιν, ἐφ’ ὧν μετρίαν δεῖ τὴν ἔμψυξιν ἐργάζεσθαι. ἐπειδὰν δὲ σφοδρῶς ψῦξαι βουληθῶμεν τὸ ῥόδινον, μιγνύναι προσήκει χυλὸν ἀειζῴου ἢ πολυγόνου ἢ θριδακίνης ἢ ὄμφακος σταφυλῆς ἢ ἀνδράχνης ἢ ἑλίκων ἀμπέλου ἢ ψυλλίου ἢ σέρεως· μήκωνος δὲ καὶ μανδραγόρου χυλὸς σφοδρῶς ἐμψύχει· διὸ βλαβερά. Ἐρασίστρατος δέ φησι μεγίστην εἶναι προφυλακὴν ἐπὶ τῶν θερμοτέρων ἕξεων, ὅταν ἡλιοῦσθαι μέλλῃ τις· [εἰ] σπόγγον πλατὺν πυκνὸν καὶ κοῖλον βρέξας εἰς ὕδωρ καὶ ἐκπιέσας σφόδρα ἐπιτίθει τῇ κεφαλῇ. ὀδυνώδους δὲ ἐπικρατούσης θερμότητος κατὰ τὴν κεφαλὴν ἅμα φυσώδει πνεύματι κατ’ ἀρχὰς μὲν ἀποκρουστικῇ θεραπείᾳ χρηστέον ἐκ τῆς τῶν ψυχόντων καὶ στυφόντων δυνάμεως γιγνομένης. μετὰ δὲ ταῦτα τῶν παρηγορικῶν τι καὶ πεπτικῶν φαρμάκων μιγνύναι χρὴ τοῖς ἀποκρουστικοῖς, εἶτα καὶ τῶν διαφορητικῶν καὶ λεπτυνόντων τι προσθετέον, ἀφαιροῦντα κατὰ βραχὺ τῶν ἀποκρουστικῶν φαρμάκων. Περὶ τῆς ἐν πυρετοῖς κεφαλαλγίας.

42 ἐπὶ δὲ τῶν ἐν πυρετοῖς συνεισβαλλουσῶν ἐξ ἀρχῆς κεφαλαλγιῶν, φλεβοτομεῖν τῇ πρώτῃ ἢ τῇ δευτέρᾳ ἀνέσει, εἰ μηδὲν κωλύοι, καὶ μάλιστα ἐπὶ τῶν εὐεκτῶν καὶ πολυαίμων. προσέχειν δὲ μὴ διὰ τὰς ἐκ τῆς γαστρὸς ἀναθυμιάσεις γίγνεται ἢ διὰ ἐποχὴν κοιλίας 〈τὰ τῆς κεφαλαλγίας〉. εἰ δὲ ὕστερον μετὰ τὴν ἑβδόμην εἰσβάλλοι, προκενώσας τὴν κοιλίαν διὰ κλυστῆρος ἀξιολόγως, σικυαστέον ἀπὸ ἰνίου ἢ αὐχένος καὶ παρηγορητέον τὴν κεφαλὴν ταῖς δι’ ἐλαίου ἐμβροχαῖς, ῥοδίνῳ μὲν ἐπὶ τῶν θερμοτέρων καὶ ὥρᾳ θερινῇ μετὰ βραχέος ὄξους, χαμαιμηλίνῳ δὲ ἐπὶ τῶν μὴ πάνυ θερμῶν, ἀνηθίνῳ δὲ ἐπὶ τῶν ψυχροτέρων ἕξεων καὶ ἐν χειμῶνι πέμπτον μέρος ὄξους προσειληφότι. ἐπιχρίειν δὲ τὸ μέτωπον κύφει μὲν ἐπὶ τῶν ψυχροτέρων, κροκομάγματι δὲ ἐπὶ τῶν θερμοτέρων. ἐπὶ μεγέθει δὲ πυρετῶν γιγνομένης κεφαλαλγίας ἰάματα προγέγραπται ἐν τῷ περὶ πυρετῶν λόγῳ. Πρὸς κεφαλαλγίαν διὰ μέθην ἢ ἀκρατοποσίαν.

43 οἱ θερμοὶ μάλιστα τῇ κράσει οἶνοι κεφαλαλγίαν γεννῶσι πληροῦντες πάντως μὲν ἀτμῶν τὴν κεφαλήν, ἔστι δ’ ὅτε καὶ χυμῶν θερμῶν. χρεία τοίνυν ἐστὶ τὸ μὲν πλῆθος κενῶσαι, ἐμψῦξαι δὲ τὴν θερμότητα. ῥόδινον οὖν ἤ τι τοιοῦτον μὴ πάνυ ψυχρὸν ἀρκεῖ προσφερόμενον τῇ κεφαλῇ ὕπνος τε καὶ ἡσυχία. κἀπειδὰν τοιαῦτα πραχθῇ, δι’ ὅλης ἡμέρας εἰς ἑσπέραν χρὴ λούσαντα θρέψαι τροφαῖς εὐχύμοις μέν, οὐ μέντοι θερμαινούσαις, οἷόν ἐστι πτισσάνης χυλὸς ἢ ἄλικος καὶ ἄρτος μεθ’ ὕδατος καὶ τὰ ῥοφητὰ ᾠὰ ἄνευ γάρου καὶ θριδακίναι ἀπεζεσμέναι. ποτῷ δὲ ὕδατι πάντως χρηστέον. διδόναι δὲ μετὰ πᾶσαν τροφὴν ῥοᾶς βραχὺ ἢ μήλου ἢ ἀπίων ἢ σταφίδων, τῇ δὲ ἑξῆς λούειν καὶ τρέφειν εὐχύμῳ τροφῇ καὶ οἶνον λεπτὸν καὶ λευκὸν ὀλίγον διδόναι. προπινόμενα δὲ ἀμέθυστά ἐστιν ἀμύγδαλα πικρὰ ε ἢ ζ νῆστις ἐσθιόμενα, οἶνος ἀψινθίτης ἢ μυρτίτης προσλαμβανόμενος καὶ αὐτὰ τὰ μύρτα προεσθιόμενα, κράμβης καυλοὶ προεσθιόμενοι· ἐπιπινόμενα δὲ μέθην σβέννυσι κενταυρίου λεπτοῦ ἀφέψημα ἐλάφειον κέρας περιστερεῶνος ὀρθοῦ σπέρμα μεθ’ ὕδατος. Ἐψυγμένης κεφαλῆς ἰάματα.

44 ἐπὶ δὲ τῆς προσφάτως ἐψυγμένης κεφαλῆς πηγανίνῳ ἐλαίῳ θερμῷ ἐμβρέχειν δεῖ τὸ βρέγμα, εἰ δὲ σφοδροτέρας δεήσῃ θερμασίας, ἐπεμβάλλειν εὐφορβίου βραχέος τῷ ἐλαίῳ. καὶ μύρῳ ἰρίνῳ ἀλείφειν ἢ ἀμαρακίνῳ ἢ ναρδίνῳ ἢ δαφνίνῳ ἢ ἑρπυλλίνῳ· ἐπιχρίειν δὲ καὶ τὸ μέτωπον τοῖς τοιούτοις καὶ διαχρίειν τῶν ῥινῶν καὶ τῶν ὤτων τοὺς πόρους. Περὶ τῶν ἀπὸ στομάχου κεφαλαλγιῶν.

45 ἔνιοι κἂν βραχύς τις ἐν κοιλίᾳ καὶ μάλιστα κατὰ τὸ στόμα αὐτῆς χυμὸς ἀθροισθείη δριμύς, αὐτίκα κεφαλαλγοῦσι, τῶν ἐν τῇ γαστρὶ χυμῶν ἀτμοὺς ἐπὶ τὴν κεφαλὴν ἐγειρόντων μοχθηρούς, ὥς τισιν αὐτῶν ὅμοια τῶν ὑποχεομένων συμπτώματα γίγνεσθαι ἐκ τῶν ἀναθυμιάσεων, εἰ μὴ φθάσωσι τροφὴν δέξασθαι. καὶ διὰ τοῦτο βλάπτονται ἀσιτοῦντες· αὔξει γὰρ αὐτοῖς ἐπὶ ταῖς ἀσιτίαις ἡ τῶν τοιούτων χυμῶν μοχθηρία. χρὴ τοίνυν τοὺς οὕτως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐνοχλουμένους ἰᾶσθαι μηδὲν μὲν τῇ κεφαλῇ προσφέροντας, κενοῦντας δὲ τῆς γαστρὸς ὅτι τάχιστα τοὺς λυποῦντας χυμούς, ὕδωρ χλιαρὸν ποτίζοντας καὶ πτερῶν καθέσει ἐμεῖν κελεύοντας· εἶτα βραχὺ διαστήσαντας τροφὴν εὔχυμόν τε καὶ εὐστόμαχον διδόναι, εἰ μὲν ἐγχωρεῖ, λουσαμένους μετὰ τὸν ἔμετον, εἰ δὲ μή, πρὸ τοῦ λουτροῦ τοσοῦτον προσαραμένους τροφῆς, ὡς μὴ βλαβῆναι λουομένους. δειπνήσαντας δὲ ὀλίγα πιεῖν, τῇ ἑξῆς ἕωθεν ἀψινθίου καὶ τῇ αὐτῇ διαίτῃ χρήσθωσαν, καὶ τὸ λοιπὸν καθ᾽ ἑκάστην περὶ ὥραν γ ἢ δ ἄρτου προσφέρεσθαι βραχὺ ἢ ἐλαιῶν μικρῶν λευκῶν ἢ σταφυλῆς ἤ τινος τοιούτου διδόναι, τῇ πείρᾳ τὸ βέλτιστον ἑκάστῳ εὑρίσκοντας· ἄλλο γὰρ ἄλλῳ βέλτιόν ἐστι κατὰ τὴν ἰδιότητα τῆς φύσεως. διαστήσαντα δὲ ὥρας β ἐπὶ λουτρὸν ἐλθεῖν. χειρίστη δὲ γίγνσται διάθεσις ἐπὶ μοχθηροῖς χυμοῖς ἀναποθεῖσιν ἢ ἐμπλασθεῖσι δυσεκνίπτως ἐν τοῖς χιτῶσι τῆς γαστρὸς καὶ ναυτίας καὶ σπαραγμοὺς ἐπιφέρουσιν, ὧν ἄριστον βοήθημά ἐστι τὸ διὰ τῆς ἀλόης πικρὸν φάρμακον, λαμβάνοντα ἐπὶ τούτων τῆς μὲν ἀλόης < ζ τῶν δὲ ἄλλων ἀνὰ < ς τοῦ δὲ κρόκου < δ ἢ ἔλαττον. πληκτικὸν γὰρ τῆς κεφαλῆς ὁ κρόκος. δίδου δὲ αὐτοῖς τοῦ φαρμάκου < α μεθ᾽ ὕδατος κυάθωνβ · παραφυλάττεσθαι δὲ ἐπὶ πάντων μέν, μάλιστα δὲ ἐπὶ τούτων, τὰ φύσει κεφαλαλγῆ ἐδέσματα. Ὅσα φύσει κεφαλαλγῆ.

46 (δεῖ δὲ παραφυλάττεσθαι οὐ μόνον ἐπὶ τῶν κατὰ συμπάθειαν τοῦ στομάχου κεφαλαλγούντων, ἀλλὰ κἀπὶ πάντων τῶν περὶ τὴν κεφαλὴν γιγνομένων παθῶν) ἔστι δὲ ταῦτα· ἄγνου σπέρμα ἀψινθίου χυλὸς γάλα πινόμενον βάλανοι δρυΐναι ἐσθιόμεναι ἐλαῖαι μέλαιναι μεμίκυλα ὄροβοι. οὗτοι δὲ καὶ τὰ ἄρθρα παραλύουσιν. ἐπὶ πλέον δὲ ἅπτεται σμύρνα λίβανος κισσοῦ κόρυμβοι καὶ ταράττουσι τὴν διάνοιαν ὁλοσχοίνου καρπὸς κρόκος πευκέδανον κυκλάμινος ξηρὰ σὺν οἴνῳ ποθεῖσα· στύραξ ὀλίγος μὲν ποθεὶς λύει σκυθρωπότητα, πολὺς δὲ κατασκευάζει ταραχώδεις ὕπνους. Πρὸς κεφαλαλγίας διὰ πληγήν.

47 εἰ μὲν τραῦμα ἐπὶ τῇ πληγῇ γένοιτο, τοῖς κολλητικοῖς καὶ ἀφλεγμάντοις φαρμάκοις κεχρῆσθαι δεῖ ῥαφῇ προαγκτηριάσαντας τὰ χείλη τοῦ ἕλκους. εἰ δὲ μέχρι τοῦ περιοστέου ἐγκαταβαίνοι ἡ πληγή, ἐπιδιελόντες καὶ ξύσαντες τὸν περικράνιον ὑμένα κατὰ συσσάρκωσιν θεραπεύσομεν. συμβαίνει δὲ οὐκ ὀλιγάκις ἐν ταῖς ἀφ᾽ ὑψηλοῦ καταπτώσεσιν ἀπορρήγνυσθαί τι τῶν κατὰ τὸν ἐγκέφαλον ἢ τὰς μήνιγγας μορίων, ὅτε καὶ ὁ κίνδυνος σφοδρότερος καὶ ὀξύτερος. ἄριστον οὖν ἐπὶ τούτων, εἰ μήτε τὰ τῆς ἡλικίας 〈κωλύει〉 μήτε ἡ ζωτικὴ δύναμις ἄρρωστος φαίνοιτο, τὴν ἀρχὴν τῆς ἰάσεως ἀπὸ φλεβοτομίας ποιεῖσθαι· κωλυομένης δὲ διά τι τῆς φλεβοτομίας διὰ κλυστῆρος ἐκκενώσομεν τὴν γαστέρα, ἀντισπάσεως ἅμα καὶ κενώσεως ἕνεκα. ἔπειτα τοῖς πρὸς τὰς φλεγμονὰς χρησόμεθα βοηθήμασι. καλῶς δὲ κολλᾷ μήνιγγα τετρωμένην, φησὶν Ἀρχιγένης, καλαμίνθης χύλισμα ἐγχεῖν καὶ ἄλευρον κέγχρινον ξηρὸν ἐπιπάσσειν, ἔπειτα βραχὺ βούτυρον καὶ ῥόδινον καὶ στέαρ ὕειον ἄναλον παλαιὸν μίξαντα καὶ χλιαίνοντα ἐπιχεῖν. Περὶ κεφαλαίας Γαληνοῦ.

48 ἡ λεγομένη κεφαλαία χρόνιός τε καὶ δύσλυτός ἐστι κεφαλαλγία, ἐπὶ μικραῖς προφάσεσι μεγίστους ἴσχουσα παροξυσμούς, ὥστε μήτε ψόφων ἀνέχεσθαι μήτε φωνῆς σφοδροτέρας μήτε λαμπροῦ φωτὸς μήτε κινήσεως, ἀλλ᾽ ἐν ἡσυχίᾳ καὶ σκότῳ κατακεῖσθαι βούλεσθαι διὰ τὸ μέγεθος τῶν ἀλγημάτων· ὡς ὑπὸ σφύρας γὰρ πλήττεσθαι δοκοῦσιν. ἔνιοι δὲ ὡς θλωμένων ἢ διατεινομένων αἰσθάνονται τῶν κατὰ τὴν κεφαλήν, οὐκ ὀλίγοις δὲ εἰς τὰς ῥίζας τῶν ὀφθαλμῶν διήκει τὸ ἄλγημα. φέρει δὲ τὸ πάθος ποτὲ μὲν διηνεκῆ ἀλγήματα, ποτὲ δὲ παροξυσμοὺς καὶ διαλείμματα ἤτοι τεταγμένα ἢ ἄτακτα. διαλείπουσι γὰρ ἐνίοτε οἱ τοιοῦτοι παροξυσμοὶ καθάπερ τοῖς ἐπιληπτικοῖς καί τις χρόνος ἐπιγίγνεται μεταξὺ τελέως ἄμεμπτος. εὔδηλον οὖν ὅτι τὸ πάθος τοῦτο τὴν εὐπάθειαν μὲν ἔχει τῆς κεφαλῆς ὁμογενῆ τοῖς κεφαλαλγικοῖς, ἐπὶ μᾶλλον δ᾽ ἐκείνων ἀσθενείας ἥκει τὰ κατὰ τὴν κεφαλὴν πάσχοντα μόρια καί τινες αὐτῶν τὰς περὶ τὸν ἐγκέφαλον ὀδυνῶνται μήνιγγας, ἔνιοι δὲ τὸν περικράνιον ὑμένα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μόνον. τὰ μὲν οὖν μετὰ βάρους ἀλγήματα πλῆθος δηλοῖ, τὰ δὲ μετὰ δήξεως ἢ ἀτμῶν ἢ χυμῶν δριμύτητα, τὰ δὲ μετὰ σφυγμοῦ φλεγμονήν, τὰ δὲ μετὰ τάσεως, εἰ μὲν ἄνευ βάρους καὶ σφυγμοῦ γένοιτο, πνεύματος λεπτοῦ καὶ φυσώδους πλῆθος δηλοῖ, εἰ δὲ μετὰ σφυγμοῦ, φλεγμονὴν ὑμενώδους σώματος. εἰ δὲ μετὰ βάρους γένοιτο ἡ διάτασις, πλῆθος ἐντὸς τῶν ὑμένων ἰσχόμενον δηλοῖ· καὶ τὰ μὲν ἐπιπολῆς ἀλγήματα τοῦ περιοστίου ὑμένος τὸ πάθος δηλοῖ, τὰ δὲ ἐν βάθει τῶν μηνίγγων. οἷς γὰρ ἡ διάθεσις ἔνδον τοῦ κρανίου ἐστί, τούτοις εἰς τὰς ῥίζας τῶν ὀφθαλμῶν ἀφικνοῦνται οἱ πόνοι διὰ τὸ τοὺς χιτῶνας τῶν ὀφθαλμῶν ἐκ τῶν μηνίγγων ἔχειν τὴν γένεσιν. εἰ μὲν οὖν πλῆθος χυμῶν ἢ ἀτμῶν εὔροις αἴτιον, εἰ μὲν διὰ τὴν τοῦ παντὸς σώματος πλησμονὴν ἐγένετο, τὸ πᾶν σῶμα κενώσας ἰάσῃ τὴν κεφαλαλγίαν. εἰ δὲ ὡς ἀσθενὴς ὑπάρχουσα ἡ κεφαλὴ δέχεται τὰ ἀναφερόμενα, ἀντισπᾶν τὴν ὕλην εἰς ὅλον τὸ σῶμα καὶ οὕτως ἰάσῃ τὸ μόριον. κλυστῆρσι μὲν οὖν ἡ ἀντίσπασις γίγνεται καὶ διαδέσεσι τῶν ἄκρων καὶ τρίψεσι πλείοσι τῶν κάτω μερῶν, ἐνίοτε δὲ καὶ αἵματος κενώσει. τὴν δὲ κεφαλὴν θεραπεύεις, ἡνίκα μὲν κεχρῆσθαι δεῖ τοῖς ἀντισπαστικοῖς διὰ τῶν ἀποκρουστικῶν ἐμβροχῶν. μετὰ 〈δὲ〉 τὴν τοῦ παντὸς σώματος κένωσιν ἤδη τοῖς κενοῦσι καὶ διαφοροῦσι τὴν κεφαλὴν κεχρῆσθαι, εἶτα τοῖς ῥωννύναι δυναμένοις. ἀποκρούεται μὲν οὖν τὸ ὀμφάκινον ἔλαιον καὶ τὸ ῥόδινον καθ’ αὑτὸ καὶ σὺν ὄξει καὶ τὸ διὰ τῶν κωδιῶν καὶ θαλλῶν ἁπαλῶν ἐλαίας καὶ κισσοῦ κορύμβων καὶ ἡδυόσμου χλωροῦ σκευαζόμενον. προσάγειν δὲ τὰ βοηθήματα χλιαρὰ μὲν ψυχροτέρου καὶ ὠμοτέρου τοῦ πλήθους ὄντος, ψυχρὰ δὲ θερμοτέρου καὶ χολωδεστέρου. διαφορεῖ δὲ τὸ γλυκύτατον ἔλαιον θερμὸν καὶ μᾶλλον παλαιούμενον τοῦτο καὶ τὸ Σικυώνιον. εἰ δὲ παχύτερον εἴη τὸ πλῆθος τῶν χυμῶν, σπονδύλιον ἢ ἑρπύλλιον ἐνεψῶν τῷ ἐλαίῳ ἢ γλήχωνος κόμην ἢ καλαμίνθης ἢ ἡδύοσμον κενώσεις τὸ πλῆθος. αὐτὰ δὲ ταῦτα καὶ τόνον ἐντίθησι τῷ μορίῳ, διὸ καὶ μέχρι παντελοῦς ἰάσεως χρῆσθαι αὐτοῖς προσήκει. μάλιστα δὲ πάντων διαφορεῖ καὶ ῥώννυσι θαυμαστῶς περιστερεὼν ὁ ὀρθός, μάλιστα μὲν χλωρός, ἤδη δὲ καὶ ξηρὸς σὺν ταῖς ῥίζαις ἅμα ἑρπύλλῳ ἑψόμενα τῷ ἐλαίῳ. συνεμβλητέον δὲ αὐτοῖς καὶ ῥίζαν τῆς παρὰ τὰ ὕδατα φυομένης κροκοδειλιάδος τῆς μεγίστης καὶ αὐτὸν δὲ καθ’ αὑτὸν τὸν περιστερεῶνα, εἰ ἀφεψήσας τῷ ἐλαίῳ ἐμβρέχοις τὴν κεφαλήν, ἰάσῃ πᾶσαν κεφαλαλγίαν χρονίαν ἐπὶ ψύξει γενομένην ἢ ὑπὸ παχέων χυμῶν. [45]

48 (50) τὰ μέγιστα δὲ ὠφελοῦσι καὶ οἱ ὑπὸ τὰς ὑδρίας ὄνοι σὺν τῷ ἐλαίῳ ἑψόμενοι. Περὶ ἡμικραίρας ἐκ τῶν Γαληνοῦ.

49 πάθος ὀδυνηρὸν γίγνεται κατὰ τὸ ἥμισυ μέρος τῆς κεφαλῆς, ὃ καλοῦσιν ἡμικρανικόν, καὶ τὰ πολλὰ κατὰ περίοδον παροξύνει. γίγνεται δὲ δι’ ἐπιρροὴν ἀτμῶν ἢ χυμῶν ἢ πολλῶν ἢ ψυχρῶν ἢ θερμῶν. καὶ ἐνίοις μὲν ἔξωθεν τοῦ κρανίου τὴν αἴσθησιν τῆς ὀδύνης γίγνεσθαι συμβαίνει, τισὶ δὲ εἰς τὸ βάθος τῆς κεφαλῆς διήκουσαν, ἔνιοι δὲ κατὰ τοὺς κροταφίτας μύας ἀλγοῦσι σφοδρῶς. αἱ δὲ διαγνώσεις ἐκ τῶν περὶ κεφαλαλγίας προειρημένων γιγνέσθωσαν. καθαίρειν οὖν αὐτοὺς χρὴ ἢ φλεβοτομεῖν πρότερον καὶ οὕτως τοῖς πικροῖς χρῆσθαι βοηθήμασιν ἀνατρίβοντα διά τε σινδόνων καὶ διὰ δακτύλων τῆς χειρὸς τὸ ἥμισυ μέρος τοῦ μετώπου· καὶ μάλιστα τὸ κατὰ τὸν κροταφίτην μῦν ἐκθερμαινέτω πρὸ τῶν παροξυντικῶν ὡρῶν τοῦτο πράττων. μετὰ δὲ τὸν παροξυσμὸν τοῖς καλουμένοις ἡμικρανικοῖς κεχρῆσθαι· θερμασίας μὲν πολλῆς ἐν ταῖς ὀδύναις διασημαινούσης τοῖς ἔχουσί τι ψυκτικόν, μὴ παρούσης δὲ τῆς θερμασίας τοῖς ἱκανῶς θερμαίνουσι χρῆσθαι· μεμίχθω δὲ ἑκατέροις τῶν τονούντων τι στυπτικὴν ἔχον ποιότητα. κάλλιστον δὲ θερμαντικόν ἐστι χρῖσμα τὸ ἔχον εὐφορβίου μὲν ℥ α κηροῦ δὲ ℥ γ ἐλαίου γλυκυτάτου λίτραν α . χρῖε δὲ τούτῳ τὸ ἥμισυ μέρος τοῦ μετώπου μετὰ τοῦ κροταφίτου μυός. χρησιμώτατον δέ ἐστι πρὸς τὰς ψυχρὰς διαθέσεις, ὡς πολλάκις ἅπαξ χρισθὲν πρὸ τοῦ βαλανείου τῆς ὀδύνης ἀπήλλαξεν. ὠφελεῖ δὲ τοὺς οὕτω πάσχοντας καὶ εἰς τὸ οὖς ἐγχεόμενον χλιαρὸν ἔλαιον, εὐφορβίου βραχέος ἐμβεβλημένου, ὡς ἀρκεῖν εἰς λίτραν τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐλαίου < δ τοῦ εὐφορβίου. φυσικῷ δέ τινι λόγῳ ἢ δυνάμει ποιεῖ τὸ εὐφόρβιον ἐπὶ τῶν ἡμικρανικῶν οὕτως προσαγόμενον· λεάνας αὐτὸ μετ’ ὄξους, ἣν μὲν τὸν δεξιὸν κρόταφον ὀδυνᾶται, ἐπίχριε τὸν εὐώνυμον, εἰ δὲ τὸν εὐώνυμον ἀλγεῖ, ἐπίχριε τὸν δεξιόν, καὶ τάχιστα παύει τὴν ὀδύνην. Ἄλλο. γῆς ἔντερα λεάνας ἐπίχριε τὸν πάσχοντα κρόταφον· ποιεῖ παραδόξως· ὁμοίως δὲ χρῶ καὶ τῇ σαρκὶ τῶν κοχλιῶν. χρῶ δὲ καὶ τοῖς μικρὸν ὕστερον γραφησομένοις κοινοῖς πάσης κεφαλαλγίας βοηθήμασι. Κοινὴ θεραπεία κεφαλαλγίας καὶ ἡμικραίρας ἐκ τῶν Ἀρχιγένους καὶ Γαληνοῦ. [30]

50 χρονίας καὶ δυσλύτου γιγνομένης τῆς κεφαλαλγίας ἢ τῆς ἡμικραίρας τὴν ἀρχὴν ἀπὸ φλεβοτομίας ἢ καθάρσεως ποιεῖσθαι προσήκει προκενώσαντας κλυστῆρι. πρόδηλον δὲ ὅτι τοὺς πολυαίμους μὲν φλεβοτομῆσαι δεῖ, τοὺς δὲ κακοχύμους καθαίρειν. εἶτα ἐμβροχαῖς ἁρμοδίοις χρῆσθαι καὶ ἀπὸ τῶν ῥινῶν ἀφαιρεῖν αἷμα· ἔπειτα ἀποφλεγματισμοῖς χρῆσθαι καὶ ἐρρίνοις, εἶτα ξυρήσαντα τὴν κεφαλὴν χρίειν τῷ διὰ σκαμμωνίας καὶ πευκεδάνου καὶ ἀλόης. ἐπίθεμα δὲ ἁρμόζει τὸ διὰ τῶν πικρῶν ἀμυγδάλων καὶ λιβάνου καὶ σμύρνης. ἔμπλαστροι δὲ αἱ δι’ ἀγαρικοῦ καὶ αἱ διὰ σκίλλης καὶ ἡ διὰ τοῦ ἀγρίου σικύου μέλαινα ἁρμόδιοι, ψυδρακοῦσαι τοὺς τόπους καὶ τὰ ἐκ τοῦ βάθους εἰς τὴν ἐπιφάνειαν μετάγουσαι· οὐκ ἀνάρμοστον δὲ καὶ τὸ διὰ δαφνίδων μάλαγμα. ἡμεῖς δὲ χρώμεθα τῷ διὰ τῶν κανθαρίδων καταχρίσματι καὶ ποιεῖ παραδόξως, πολλῷ χρόνῳ ἐξιχωρισθέντων τῶν ὑπὸ τοῦ φαρμάκου γιγνομένων ἑλκυδρίων. δεῖ δὲ προησφαλίσθαι τὴν κύστιν διὰ γαλακτοποσιῶν καὶ ἐμβροχῶν διὰ τὸ ἑτοίμως αὐτὴν πολλάκις ἀδικεῖσθαι ἐκ τῶν διὰ κανθαρίδος χρισμάτων. ἐπιμενούσης δὲ τῆς διαθέσεως τέμνειν τὰς παρὰ τὰ ὦτα ἀρτηρίας καὶ μάλιστα τὰς ἐν κροτάφοις. ἐχρήσαντο δέ τινες ἐπὶ κεφαλαίας καὶ καύσει βαθείᾳ φυλασσόμενοι μόνον μή τις τῶν μυῶν ὑποπέσῃ τῷ καυτηρίῳ. ἐρείδεται δὲ καυτήρια πυρηνοειδῆ, ὅπου μᾶλλον ὀδυνᾶται· καὶ ἐγχωρεῖ μέχρις ὀστέου καίειν πρὸς λεπίδος ἀπόστασιν. βάρβαροι δὲ μηνοειδῆ διαίρεσιν διδόασι περὶ τὸ ἐμπρόσθιον μέρος τῆς κεφαλῆς, ἀνωτέρω τοῦ μετώπου ἀπὸ τοῦ ἀριστεροῦ ὠτὸς μέχρι τοῦ δεξιοῦ, ἀπολύοντες τὸν περικράνιον ὑμένα καὶ ἐπιξέοντες τὸ ὀστέον τῆς κεφαλῆς, ἐξασφαλίζεσθαι λέγοντες τὴν κεφαλήν. καὶ οὐκ ἂν εἰκῇ δόξῃ περιειλῆφθαι ἡ χειρουργία τοῖς εἰδόσι τὴν δυσχέρειαν τοῦ κακοῦ, δι’ ἣν οὐδὲ τὰ τοιαῦτα βοηθήματα μείζονα τῆς χρείας ἔσται. ἐλλέβορος δὲ ὠφελεῖ οὐ χείρων καυτηρίων, εἰ μήτι καὶ μᾶλλον. παρακτέον οὖν αὐτοὺς πρότερον διὰ τοῦ ἀπὸ ῥαφανίδων ἐμέτου, εἶτα δοτέον τὸν ἐλλέβορον. ἐγὼ δὲ καὶ τούτοις καὶ τοῖς ἐπιληπτικοῖς τὸν βολβὸν τοῦ λευκοῦ ἐλλεβόρου λεῖον καὶ χνοώδη ποιῶν δέδωκα < α , καθὼς ἐν τῷ περὶ καθαρτηρίων λόγῳ προείρηται· καθαίρονται γὰρ δραστικῶς μετὰ πάνυ πολλῆς ἐκκρίσεως. εἶτα διαλαβὼν ἡμέρας τινὰς τό τε τῶν ῥαβδίων δίδωμι < β · ἐπὶ πλέον γὰρ σπαράττονται ἤπερ ἐκκρίνουσι καὶ πάλιν τὸ τρίτον ὁμοίως δίδωμι· προσμεμελετηκυῖαν γὰρ ἤδη διάθεσιν καὶ ἐν αὐτοῖς, ὡς εἰπεῖν, τοῖς ὀστέοις πεπηγυῖαν, οὐκ ἔστιν ἀγωνιστικώτερος τρόπος ἄλλος. μετὰ δὲ ταῦτα ἀναλαβόντες τὴν δύναμιν κάτω καθαίρομεν ἐκ διαλειμμάτων τινῶν τῇ ἡμετέρᾳ ἱερᾷ, πρὸς τὸ ἐκεῖσε ῥέπειν ἀναγκάζειν τὴν ἀνώρροπον ὕλην. παραιτεῖσθαι δὲ χρὴ ψῦξιν ἔγκαυσιν κόπον τοῦ τε ἄλλου σώματος καὶ τοῦ κατὰ τὴν κεφαλὴν αὐτὴν διὰ τῆς ὄψεως καὶ τῆς ἀκοῆς καὶ ὀσφρήσεως καὶ γεύσεως καὶ μάλιστα τῆς ἁφῆς. παραιτεῖσθαι δὲ καὶ τὰς δριμυτέρας βρώσεις, οἷον κρομύων σκόρδων καὶ τῶν ὁμοίων καὶ τὰς ἐμπνευματώσεις καὶ ὅσοι δυσδιέξοδοι, οἷον τυροὶ γάλα ὕδνα μύκητες βολβοὶ γογγυλίδες. αἱρεῖσθαι δὲ τὰ εὐκοίλια εὔπεπτα ψαφαρὰ ἀπίμελα ἄβρομα εὐστόμαχα οὐρητικά. φειστέον δὲ καὶ μέλιτος καὶ τῶν γλυκέων πάντων. οἶνος δὲ λευκὸς καὶ λεπτὸς ἔστω, μὴ πάνυ παλαιὸς καὶ μὴ σφόδρα εὐώδης καὶ τῷ πλήθει σύμμετρος. στοιχάδα δὲ τὴν πόαν ἑψήσας σὺν ὕδατι ἢ ὑδρομέλιτι δίδου τοῖς κεφαλαλγικοῖς καὶ ἡμικρανικοῖς, ὡς μέγιστον καὶ μόνον βοήθημα. [45]



Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἄλλο πρὸς πάντα πόνον κεφαλῆς. ἐλάφου ὀστέον καύσας λεάνας μετὰ ῥοδίνου κατάχριε τὸν ἀλγοῦντα τόπον. Ἄλλο. ὤκιμον λεάνας κατάπλασσε. Ἄλλο. ἡδύοσμον μετ’ ὄξους λεάνας χρῖε δὶς τῆς ἡμέρας. Ἄλλο. λάπαθον ἄγριον καὶ κηκῖδας ἅμα λεάνας ἐπίχριε τοὺς κροτάφους καὶ τὸ μέτωπον καὶ παραχρῆμα παύσεις. Ἄλλο. χέσματα χελιδόνων πρὸ τοῦ χαμαὶ πεσεῖν σὺν τῷ εὑρισκομένῳ ἐν τῇ καλιᾷ πηλῷ βρέξας ὄξει ἐν ξυλίνῳ σκεύει κατάχριε. Ἄλλο. σπυράθους αἰγὸς λεάνας κατάχριε καὶ ἐπίδησον· τοῦτο ποίει πρωῒ καὶ δείλης καὶ ἰάση. Ἄλλο. καρδάμωμον φρύξας σὺν ὄξει καὶ ῥοδίνῳ λείου καὶ ποιήσας κηρωτῆς πάχος ἐπιτίθει καὶ ἰάσῃ τάχιστα. Ἄλλο. γῆς ἔντερα λεάνας κατάχριε ἢ κοχλιῶν σάρκας. Ἄλλο. κοχλίου ὅλου κεκαυμένου τέφραν βολβίτων βοὸς λιβάνου ἴσα μετ’ ὄξους λεάνας κατάχριε τὸ μέτωπον. ἔνιοι δὲ τῶν ἡμετέρων διδασκάλων, φησὶν ὁ Γαληνός, τούτῳ ἐχρῶντο πρὸς ἡμικραίρας· πεπέρεως λευκοῦ < β κροκομάγματος < β εὐφορβίου νεαροῦ < τὸ ἥμισυ· εἰ δὲ παλαιὸν εἴη < α κόπρου περιστερῶν τῶν διαιτωμένων ἐν ἀγροῖς < α c μέλανος γραφικοῦ καλοῦ < α c, λείου σὺν ὄξει δριμυτάτῳ καὶ ἐπάλειφε τὸν κροταφίτην μῦν καὶ ὅλον τὸ ἥμισυ τοῦ μετώπου κατὰ τὸ πεπονθὸς μέρος. Κροκομάγματος σκευασία πρὸς κεφαλαλγίαν ἐπιχριομένου τοῖς κροτάφοις, μίγνυται δὲ καὶ σκευασίαις ἑτέρων φαρμάκων. κρόκου < ρ σμύρνης τρωγλίτιδος < ν ῥόδων ξηρῶν < ν ἀμύλου προσφάτου < η κόμμεως < ν οἴνῳ λειοῦται. Ἕτερον φάρμακον οὐ μόνον τοὺς ἡμικρανικοὺς ὠφελοῦν, ἀλλὰ καὶ πᾶσαν κεχρονισμένην κεφαλαλγίαν ἐπιχριόμενον, ἐν μὲν ταῖς κεφαλαλγίαις ἀπὸ κροτάφου εἰς κρόταφον ἐπὶ τοῦ μετώπου παντός, ἐν δὲ ταῖς ἡμικραίραις κατὰ τοῦ ἡμίσεος μέρους τοῦ πεπονθότος· κρόκου < ιε χαλκάνθου < ι στυπτηρίας < γ σμύρνης < γ ὀπίου < γ ὀμφακίου ξηροῦ < γ χαλκίτεως ὠμῆς < γ κόμμεως < ιε , οἴνῳ Φαλερίνῳ λείου ὡς κολλύριον καὶ ἀνάπλαττέ τε τροχίσκους· καὶ ἐπὶ τῆς χρείας ὀξυκράτῳ ἢ ὄξει κατάχριε. [Ἔμβροχον εἰς ληθαργικούς] Ἕτερον ταῖς αὐταῖς ἁρμόττον διαθέσεσιν. σκαμμωνίας < ϛ κρόκου < β κισσοῦ κόμης < ϛ θείου ἀπύρου < δ ἀνίσου < η σελίνου σπέρματος < η , λεάνας ἐπιμελῶς ὠκίμου χυλῷ ἀνάπλασσε τροχίσκους· τοῦτο ῥοδίνῳ πλείονι λυθὲν ἐπιβροχὴ τῆς κεφαλῆς γίγνεται τοὺς ληθαργικοὺς ὠφελοῦσα, ἐπὶ δὲ τῶν κεφαλαλγικῶν μετ’ ὄξους. Ἕτερον φάρμακον οὐ μόνον ἐπὶ τούτων ἁρμόττον, ἀλλὰ καὶ τοὺς σκοτωματικοὺς ὠφελοῦν. πευκεδάνου ῥίζης < δ ἴρεως Ἰλλυρικῆς < β ἰοῦ < α ἀκόρου < α σπονδυλίου < δ πεπέρεως μέλανος < β c ἑρπύλλου < δ c σμύρνης < β καστορίου < β c δαφνίδας ἀριθμῷ λε πηγάνου χλωροῦ < η ἡδυόσμου χλωροῦ < δ ὀπίου < α , οἴνῳ ἀναλαβὼν ποίει τροχίσκους. ἐπὶ δὲ τῆς χρείας ὄξει καὶ ῥοδίνῳ διεὶς κατάχριε καὶ ἀναληφθὲν δὲ κηρωτῇ ῥοδίνῃ ἐπιτίθεται τῷ μετώπῳ ὡς μάλαγμα. Τροχίσκος. οὐ μόνον τοὺς ἡμικρανικοὺς ὠφελῶν ἀλλὰ καὶ τοὺς ἰσχιαδικούς. θαψίας < γ εὐφορβίου < δ ὀποῦ Μηδικοῦ < γ σμύρνης < α ὀποπάνακος < α , ἅμα κόψας λεάνας οἴνῳ ἀνάπλασσε καὶ χρῶ μετ’ ὄξους. Ἄλλο. πευκεδάνου ῥίζης < δ κρόκου < α σμύρνης < α ὀπίου < α , ὄξει ἀναλάμβανε 〈καὶ ποίει〉 τροχίσκους καὶ χρῶ σὺν ὄξει ἐν τοῖς παροξυσμοῖς. παραχρῆμα λύει τοὺς πόνους. Πρὸς πάσαν κεφαλαλγίαν καὶ ἡμικραίραν διὰ πείρας πολλῆς.

50 (100) ἀψινθίου χυλοῦ κισσοῦ χυλοῦ αἰγὸς κόπρου κοχλίους σὺν τοῖς ὀστράκοις κεκαυμένους χάρτου κεκαυμένου δαφνίδων βολβῶν λιβάνου εὐφορβίου μέλανος γραφικοῦ κροκομάγματος κηκίδων ῥαφάνου φύλλων ὠοῦ τὸ πυρρὸν μαλάχης χυλῷ ἴσα λεάνας ὄξει, ποίει τροχίσκους καὶ χρῶ σὺν ὄξει. Ἐπιθέματα πρὸς κεφαλαλγίαν ἐκ τῶν Ἀσκληπιάδου.

51 ἀμυγδάλων πικρῶν ἄγνου ἄνθους πευκεδάνου ῥίζης ἡδυόσμου χλωροῦ πηγάνου ἀκρεμόνων δαφνίδων ἑρπύλλου σπονδυλίου καστορίου ἀνὰ ℱ α ῥόδων ξηρῶν ℱ β , ὄξει διαλύσας ἀναλάμβανε κηρωτῇ σκευασθείσῃ διὰ ῥοδίνου, ἔπειτα εἰς ὀθόνιον ἐμπλάσας καὶ ξυρήσας τὰς τρίχας, ἐπιτίθει καθ’ ὅλης τῆς κεφαλῆς καὶ ταινιδίῳ καταδήσας φύλαττε μέχρι τῆς ἐπιούσης ἡμέρας καὶ πάλιν λύσας ἀνανεώσας ἐπιτίθει. Ἄλλο μάλαγμα πρὸς πᾶσαν κεφαλαλγίαν. ἰοῦ < δ χαλκοῦ κεκαυμένου < δ λεπίδος σιδήρου στομώματος < β κιμωλίας < δ χαλκίτεως ὠμῆς < δ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κισσήρεως ὠμῆς < γ τερεβινθίνης ℥ α κηροῦ ℥ λζ c ἐλαίου παλαιοῦ ℥ ε , τοῖς ξηροῖς λειοτάτοις τὰ τηκτὰ ἐπίχεε καὶ μάλασσε καὶ χρῶ. ἐὰν δὲ σκληρότερον δοκῇ εἶναι, ἐλαίῳ ἀμυγδαλίνῳ μάλασσε καὶ χρῶ, ὡς προείρηται. ποιεῖ καὶ ἐπὶ τοῦ μετώπου ἐπιτιθέμενον καὶ κροτάφοις, ποιεῖ δὲ παραδόξως ἡ Ἀρχιγένους μέλαινα δέρματι ἐμπλασσομένη καὶ ἐπιτιθεμένη τῷ ἀλγοῦντι κροτάφῳ· παραχρῆμα γὰρ παύει τὰς ὀδύνας. κεῖται ἐν τοῖς ἀσθματικοῖς νοσήμασιν ἐν τῷ η λόγῳ κεφαλαίῳ ξγ . Ἔρρινα κεφαλῆς καθαρτικά.

52 χρείας δὲ καλούσης καὶ διὰ ῥινῶν καθαίρειν χρὴ τὴν κεφαλὴν μετὰ τὴν τοῦ παντὸς σώματος κένωσιν, ἐκχέοντα ταῖς ῥισὶν ἀναγαλλίδος χυλὸν ἢ κυκλαμίνου ἢ αὐτὴν τὴν ῥίζαν τῆς κυκλαμίνου ξηρὰν λείαν ἐμφυσᾶν ἢ ἐλατήριον μετὰ γάλακτος ἐγχεῖν. εὐπορίστῳ δὲ πολλάκις ἐχρησάμην φαρμάκῳ μελανθίῳ, ποτὲ μὲν ἐν ὄξει δριμεῖ προβρέχων πρὸ μιᾶς ἡμέρας, ἔπειτα λειῶν σὺν τῷ ὄξει καὶ ἐγχέων εἰς τὰς ῥῖνας· ποιεῖ καὶ ἐπὶ ἰκτερικῶν. ἐνίοτε δὲ καὶ ἐλαίῳ παλαιῷ τὸ μελάνθιον λειώσας ἐγχέω· ποιεῖ καὶ ἐπὶ ἐμφράξεως μυξωτήρων. Ἄλλο. κισσοῦ χυλὸς ἢ καλαμίνθης διὰ ῥινεγχύτου ἐγχυθεὶς εἰς τοὺς μυκτῆρας ἄγει πολλὴν μύξαν. Ἄλλο. πυρῆνα μήλης ὕδατι βάπτων ἀναλάμβανε χάλκανθον λείαν καὶ διάχριε ἐσωτάτω τοὺς μυκτῆρας. τοῦτο καθαίρει ἱκανῶς καὶ παραχρῆμα τοὺς πόνους κουφίζει· ἢ γάλακτι τὴν χάλκανθον λεάνας ἔγχεε· καὶ καθαίρει κάλλιστα, μάλιστα τοὺς ἰκτερικούς. Ἄλλο. μελανθίου λείου < η ἀφρονίτρου < α ἁλὸς ἀμμωνιακοῦ < α ἐλαίῳ ἢ ἰρίνῳ ἢ κυπρίνῳ ἀνέσας καὶ κροκύδα περιτιθεὶς μήλῃ καὶ βάπτων τῷ φαρμάκῳ διάχριε τοὺς μυκτῆρας συνεχῶς καὶ ἀπορρυήσεται πᾶν τὸ ἐνοχλοῦν τῇ κεφαλῇ. ἐχέτω δὲ τὸ φάρμακον σύστασιν ὑγρᾶς κηρωτῆς καὶ ἀποκείσθω ἐν κερατίνῃ πυξίδι· ἐνίοτε δὲ ἀντὶ τοῦ ἀφρονίτρου ἐλατήριον βάλλω. καὶ ποιεῖ τοῖς ὑπὸ ὀφθαλμιῶν χρονίων ἐνοχλουμένοις καὶ ἐπιληπτικοῖς. ἄγει γὰρ πολλὴν ὑγρασίαν. Ἄλλο ἀλύπως καθαῖρον καὶ ἄπονον ποιοῦν παραχρῆμα. κυκλαμίνου ξηρᾶς < η ἴρεως ξηρᾶς < β νίτρου ἐρυθροῦ < α . ἐγὼ δὲ ἐλατήριον ἔβαλον ἀντὶ τοῦ νίτρου, τρίψας ἐπιμελῶς, ἐμφύσας διὰ καλαμίδος, παραινῶν ἄνω ἀνασπᾶν, ἔπειτα κάτω νεύειν, ὥστε τὸ συλλεγόμενον ὑγρὸν ἀπορρεῖν. καὶ πταρμικοῖς δὲ χρὴ διασείειν τὴν κεφαλὴν τοῖς ἀναγραφησομένοις ἐν τῷ περὶ τῶν τῆς ῥινὸς παθῶν λόγῳ. Ἀποφλεγματισμοὶ καθαίροντες τὴν κεφαλήν.

53 νίτρου ℥ ϛ σταφίδος ἀγρίας ℥ γ ἀνίσου ℥ δ δάφνης φύλλων χλωρῶν ℥ β σταφίδων λιπαρῶν ἐκγιγαρτισμένων ὅσον ἐξαρκεῖ εἰς ἀνάληψιν. ἐκ τούτου δίδου διαμασᾶσθαι κατὰ μέρος ὅσον ℥ γ καὶ ἀποπτύειν. Ἄλλο διαμάσημα κεφαλὴν καθαῖρον. πυρέθρου πεπέρεως ὑσσώπου σταφίδος ἀγρίας 〈ἴσα〉 , ἀναλάμβανε σταφίδων σαρκὶ καὶ δίδου διαμασᾶσθαι· μετὰ δὲ τὴν τούτων χρῆσιν ἁλσὶ καὶ μέλιτι ἀποθεραπευέσθω. Ἄλλο κεφαλῆς καθαρτικόν, μήτε κεφαλὴν συγχωροῦν πονεῖσθαι, μήτε ἀμβλυωπίαν γενέσθαι· ὠφελεῖ δὲ καὶ ὦτα καὶ ὀδόντας. διὰ χρόνου δὲ ὁ χρώμενος αὐτῷ οὐδενὶ τούτων περιπεσεῖται πάθει. ἔστι δὲ κάλλιστον. σαμψύχου ξηροῦ ἴρεως Ἰλλυρικῆς πυρέθρου ὑσσώπου νίτρου πεπέρεως σελίνου σπέρματος πάνακος ῥίζης σταφίδος ἀγρίας ἀνὰ < δ · ἐὰν δὲ ἐπιτεῖναι θέλῃς, πρόσβαλλε καὶ σμύρνης < δ . λέανας δὲ ἕκαστον κατ’ ἰδίαν, ἔπειτα καὶ ἅμα μεθ’ ὕδατος ἀνάπλασσε τροχίσκους, παραμίξας βραχὺ μέλι· ἐπὶ δὲ τῆς χρείας ἀνέσας μέλιτι καὶ ὕδατι ἀναγαργαρίσματι χρῶ ἢ ἐλαίῳ κυπρίνῳ ἢ ἰρίνῳ ἢ παλαιῷ μίξας ἐπὶ τοὺς μυκτῆρας ἔγχει. Σμήγματα καὶ πάσματα πυκνωτικὰ τῆς κεφαλῆς.

54 Σμῆγμα κεφαλῆς πυκνωτικόν. νίτρου Ἀλεξανδρινοῦ βερνικαρίου ℥ ϛ δαφνίδων νάπυος σαμψύχου ἀνὰ ℥ β κυπέρου ℥ α τρυγὸς κεκαυμένης ℥ α , σμάσθω ἐν βαλανείῳ μὴ ἀλειψάμενος· κατὰ δὲ τῶν ὀφθαλμῶν κατεχέτω ὀθόνιον πολύπτυχον ἢ σπόγγον. Ἄλλο. νίτρου ὀπτοῦ λι α σταφίδος ἀγρίας λι α δαφνίδων λι β νάπυος λι α σικύου ἀγρίου ῥίζης ℥ ϛ · χρῶ καθὰ προείρηται ἐπὶ τῶν κεχρονισμένων διαθέσεων. Σμῆγμα κεφαλῆς ποιοῦν πρὸς κατάρρους καὶ ὑδροκεφάλους διὰ πείρας. νίτρου ὀπτοῦ οἴνῳ σβεσθέντος ℥ ϛ ἴρεως ἀριστολοχίας ἑλενίου ἀνὰ ℥ α ὀξυμέλιτος τὸ ἀρκοῦν, κόψας σήσας φυράσας τῷ ὀξυμέλιτι καὶ προξυρήσας τὸ βρέγμα ἐπίχριε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρὸ τοῦ βαλανείου καὶ ἐάσας βραχὺ σμῆχε. Σμῆγμα πρὸς πᾶσαν κεφαλαλγίαν καὶ ῥεῦμα ὀφθαλμῶν διὰ πείρας. ἑλενίου σμύρνης καλάμου ἀρωματικοῦ θέρμων ἀλεύρου ὀροβίνου ἀλεύρου θείου ἀπύρου ἀφρονίτρου ἴσα χυλῷ πτισσάνης ἀναλαβών, ποίει τροχίσκους ἀνὰ 𐅻 α · ἐπὶ δὲ τῆς χρείας ἀνέσας, α χυλῷ πτισσάνης χρῶ. χρὴ ἐν τῷ λουτρῷ ἐμβάλλειν τὸ σμῆγμα τῷ βρέγματι, προδιαστείλαντι τὰς τρίχας ἀπ’ ἀλλήλων, ἵνα προσομιλῇ τῷ σώματι τὸ βοήθημα, προστάττων μύειν τὸ στόμα, ἵνα διὰ τῶν μυκτήρων σφοδρῶς ἐπισυρόμενοι τὸν θερμὸν ἀέρα θᾶττον μεταβάλλωσι τὴν ὑποκειμένην ὕλην. Σάπων Κωνσταντίνου ἀναξηραντικὸς ῥευμάτων. βαλαυστίων 𐅻 β σμύρνης σανδαράκης ναρδοστάχυος ἀνὰ 𐅻 β κόστου ἀλόης κηκίδων λιβάνου σιδίων φύλλων ῥόδων σαρκοκόλλης ἀνὰ 𐅻 γ σάπωνος Γαλλικοῦ λι α θέρμων πικρῶν ἀφεψήματος ξ/α , τὰ ξηρὰ κόψας σήσας καὶ σὺν τοῖς ὑγροῖς ἐκλεάνας πρόσβαλλε τὸν σάπωνα καὶ ἀνάπλασσε τροχίσκους καὶ χρῶ, ἀναλύων ἐπὶ τῆς χρείας ὅσον ἐξαρκεῖ μετ’ οἴνου καὶ ἐπιχρίων πρὸ τοῦ βαλανείου τὸ βρέγμα προξυρισθὲν ἔπειτα μετὰ βραχὺ σμήχων καὶ ἀποπλύνων. Σάπων Ἀνδρέου κόμητος πάνυ δόκιμος. σχοίνου ἄνθος κασσίας κυπέρων ἀμώμου φύλλου κόστου ἀνὰ 𐅻 α κηκίδων 𐅻 α c νάρδου Κελτικῆς στυπτηρίας σχιστῆς ἴρεως τρυγὸς οἴνου παλαιοῦ κεκαυμένου γύψου κεκαυμένου νίτρου ἀνὰ Γρ ιβ ῥόδων ξηρῶν Γρ η ἁλῶν Γρ η πορφυρῶν ὀστράκων κεκαυμένων 𐅻 γ σάπωνος Γαλλικοῦ λι α θέρμων ἀφεψήματι λείου καὶ ἀναλάμβανε καὶ χρῶ. Ξηρὸν μύρον κεφαλῆς ῥευματιζομένης ἀδιάπτωτον. ἴρεως ἑλενίου σχοίνου ἄνθους ἀνὰ λι α ῥόδων ξηρῶν 𐅻 γ ἀμώμου κόστου φύλλου κηκίδων ἀνὰ 𐅻 ϛ · χρῶ μετὰ τὸ λουτρὸν προαλείψας τὴν κεφαλὴν οἴνῳ αὐστηρῷ καὶ τότε ἐπίπασσε. Ἄλλο κάλλιστον. ἴρεως 𐅻 γ κηκίδων 𐅻 α κασσίας κόστου φύλλου ναρδοστάχυος βαλαυστίων ῥόδων ξηρῶν καρποβαλσάμου ἀνὰ 𐅻 β σμύρνης < δ , κόψας σήσας προαλείψας τὴν κεφαλὴν οἴνῳ αὐστηρῷ ἐπίπασσε καὶ μάλιστα μετὰ τὸ λουτρόν. Ἄλλο Θεοδοσίου. πάσμα κεφαλῆς ἀναξηραντικόν. κηκίδων βαλαυστίων ἀνὰ 𐅻 δ κυπέρων 𐅻 β ναρδοστάχυος φύλλου λιβάνου φλοιοῦ πίτυος φλοιοῦ νάρδου Κελτικῆς ἀνὰ 𐅻 α ἴρεως 𐅻 α c, κόψας σήσας χρῶ. Ἄλλο πάνυ καλόν. ἴρεως 𐅻 γ κηκίδων κυπέρων ῥόδων ξηρῶν ἀνὰ 𐅻 β στυπτηρίας 𐅻 α · χρῶ, ὡς προείρηται, ἐπὶ θερμοτέρας κεφαλῆς. Πάσμα κεφαλῆς καθύγρου, ὑφ’ ἧς οἵ τε ὀφθαλμοὶ ῥευματίζονται καὶ τὰ ἄλλα μέρη. [45]

54 (50) παιωνίας ῥίζης 𐅻 α στυπτηρίας σχιστῆς 𐅻 α δαφνίδων < δ κυπέρων 𐅻 β νάρδου Κελτικῆς 𐅻 ϛ , κόψας σήσας κατάπλασσε· τοῦτο ποιεῖ· πλειστάκις γὰρ ἐδοκίμασα. Ἄλλο πάσμα κεφαλῆς τονωτικὸν ποιοῦν καὶ ἐπὶ τῶν τοὺς ὀφθαλμοὺς ῥευματιζομένων συνεχῶς. κυτίνων 𐅻 α κηκίδων 𐅻 β κυπέρων ἴρεως ἑλενίου ἀνὰ 𐅻 δ ἁρμαλὰ ὃ καλοῦσι βησασὰ 𐅻 β χαμαιλέοντος μέλανος ῥίζης 𐅻 β καρποβαλσάμου 𐅻 α σχοίνου ἄνθους 𐅻 β ἀριστολοχίας ῥόδων ξηρῶν μυρσίνης ξηρᾶς νάρδου Κελτικῆς ἀνὰ 𐅻 α ξυλοβαλσάμου 𐅻 β ἀμώμου σιδίων σταφίδος ἀγρίας ἀνὰ 𐅻 α , κόψας σήσας χρῶ. Ἄλλο σμῆγμα ἀναξηραντικὸν ῥευμάτων παντοίων, ἐξαιρέτως δὲ τῶν δριμέων καὶ τῶν ὑποσκυφίων λεγομένων διὰ πολλῆς πείρας πάνυ εὐδοκιμοῦν γενναίως. κάγχρυος 𐅻 γ λαδάνου 𐅻 β κηκίδων 𐅻 β σχοίνου ἄνθους 𐅻 α c ῥόδων σπέρματος ξηροῦ 𐅻 α c στυπτηρίας ὑγρᾶς 𐅻 β ναρδοστάχυος 𐅻 α νάπυος ἴρεως ἀκακίας πεπέρεως σταφίδος ἀγρίας ἀνὰ 𐅻 β κόστου φύλλου πυρέθρου ἀνὰ 𐅻 α καλάμου 𐅻 α c σφάγνου ἤτοι βρύου ἢ ὕπνου ἢ ὕπνου 𐅻 α c νίτρου ἐρυθροῦ λι β , τὸ νίτρον καύσας ὀξυμέλιτι σβέσας λεάνας μίξας χρῶ, ἐπιπάσσων τῷ βρέγματι καὶ μετὰ βραχὺ σμήχων. Περὶ ἀλωπεκίας. [65]

55 καθάπερ τῶν φυτῶν ἔνια μὲν ὑγρότητος ἐνδείᾳ φθείρεται ξηραινόμενα, τινὰ δὲ ὑγροῖς ἀλλοτρίοις τῆς ἑαυτῶν φύσεως ὁμιλοῦντα τὸν αὐτὸν τρόπον καὶ ταῖς θριξὶν ἤτοι δι’ ἔνδειαν ὑγρῶν, ὑφ’ ὧν τρέφεσθαι πεφύκασιν, ἢ φαυλότητα φθείρεσθαι συμβαίνει. δι’ ἔνδειαν μὲν ὑγρῶν ἡ φαλάκρωσις γίγνεται, διὰ μοχθηρίαν δὲ αἱ ἀλωπεκίαι τε καὶ ὀφιάσεις, ἓν μὲν ἄμφω κατά γε τὴν νοσώδη διάθεσιν οὖσαι τὸ πάθος, ὀνόματα δὲ ἐσχηκυῖαι διαφέροντα παρὰ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σχῆμα. παραπλήσιον γὰρ ὄφει τὸ βεβλαμμένον μέρος τῆς κεφαλῆς φαίνεται κατὰ τὰς ὀφιάσεις. αἱ δὲ ἀλωπεκίαι οὕτως ὠνομάσθησαν, ὅτι ταῖς ἀλώπεξι συνεχῶς γίγνεται τὸ πάθος, ὥς φασιν. ὑγρῶν μὲν οὖν μοχθηρῶν περιουσία αἰτία τοῦ πάθους. ὁποῖα δέ ἐστι ταῦτα, διὰ τῆς χρόας τοῦ παντὸς δέρματος γνώσῃ. λευκοτέρα μὲν γὰρ οὖσα φλεγμαντικωτέραν αὐτὴν δηλώσει, μελαντέρα δὲ μελαγχολικωτέραν, ὠχροτέρα δὲ πικρόχολον. καὶ κενοῦν χρὴ τὴν πλεονάζουσαν κακοχυμίαν ἢ τοῖς δι’ ἀλόης καὶ κολοκυνθίδος καταποτίοις ἢ τῇ διὰ κολοκυνθίδος ἱερᾷ Γαληνοῦ, εἰ μὲν ὁ μελαγχολικὸς χυμὸς πλεονάζοι, μέλανα ἐλλέβορον αὐτῇ μιγνύντας, εἰ δὲ ὁ πικρόχολος, σκαμμωνίαν, εἰ δὲ φλέγμα, αὐτὴν καθ’ ἑαυτήν. μετὰ δὲ τὴν τοῦ ὅλου σώματος κάθαρσιν ἀποφλεγματίζειν ἄμεινον, κἄπειθ’ οὕτως χρῆσθαι τοῖς τοπικοῖς βοηθήμασι. διαφορητικὰ δὲ τῆς κακοχυμίας εἶναι χρὴ ταῦτα καὶ λεπτομεροῦς οὐσίας· εἰ δὲ πρὸς τῷ διαφορεῖν τοὺς μοχθηροὺς χυμοὺς ἐπιτήδειον εἴη τὸ φάρμακον ἕλκειν αἷμα χρηστόν, ὥσπερ ἡ θαψία, κάλλιστον ἂν εἴη τὸ τοιοῦτον. ξυρήσαντας δὲ χρὴ τὴν κεφαλὴν ἀνατρίβειν [τὸν τόπον] ῥάκει καὶ σκοπεῖν· εἰ γὰρ μετ’ ὀλίγην τρῖψιν ἐρυθραίνηται τὸ μέρος, εὐίατον ὑπολάμβανε τὴν διάθεσιν, εἰ δὲ μετὰ πολλὴν τρῖψιν ἐρυθραίνηται, δυσίατον· εἶτα λειώσαντες πρόσφατον θαψίαν καὶ μίξει δαψιλοῦς ὕδατος ἐκλύσαντες αὐτῆς τὸ σφοδρὸν τῆς δυνάμεως ἐπιχρίειν. ἐπισκέπτεσθαι δὲ χρὴ μετὰ τὴν ἐπίχρισιν τῆς θαψίας, μήποτε διὰ σφοδρότητα περαιτέρω τοῦ προσήκοντος ἐξεθέρμηνε τὸ δέρμα (δῆλον δὲ ἔσται τοῦτο ξανθότερον τὴν χρόαν γενόμενον)· ἐπικαυθῆναι γὰρ κίνδυνος τὸ δέρμα πολλάκις τῷ αὐτῷ χρησαμένων ἡμῶν, ἀλλ’ ἢ μεταβαίνειν ἐπί τι ἕτερον τῶν μαλακωτέρων χρὴ ἢ τῷ αὐτῷ χρωμένους ἐκλύειν τὴν δύναμιν κηρωτῆς ἢ στέατος μίξει. [πρόσεχε δὲ τὸ μὴ ἑλκωθῆναι τὴν ἀλωπεκίαν, ὅπερ ἂν εἰ γένηται, ἐπάλειφε χηνείῳ στέατι ἢ ἄλλῳ τινὶ τῶν λεπτομερῶν.] προσαγέσθω δὲ ἐν ἀέρι θερμῷ τὰ τοιαῦτα τῶν βοηθημάτων χωρὶς αὔρας ψυχρᾶς ἐν ἡλίῳ, χειμῶνος δὲ ὄντος ἐν λουτρῷ. τῶν δὲ ἄλλων φαρμάκων τῶν ἁρμοττόντων ταῖς τοιαύταις διαθέσεσι θερμότατόν ἐστι τὸ εὐφόρβιον, καὶ μετὰ τοῦτο θαψία καὶ νᾶπυ καὶ κάρδαμον· καθ’ ἕτερον δὲ τρόπον οὐδενὸς ἔλαττον ἡ ἀδάρκη, εἶτα τὸ βερνικάριον θεῖον καὶ ἀφρόνιτρα ἑκάτεροί τε οἱ ἐλλέβοροι καὶ τοῦ εὐζώμου τὸ σπέρμα καὶ τὸ δάφνινον ἔλαιον· ἀλκυόνιά τε ἑκάτερα κεκαυμένα καὶ αἱ ῥίζαι τοῦ φραγμίτου καλάμου καὶ ὁ φλοιὸς καυθέντα καὶ πίττα καὶ κεδρία ἥ τε τῶν μυῶν κόπρος καὶ χήνειον στέαρ, μάλιστα δὲ τὸ τῆς ἄρκτου ἢ ὑαίνης, τά τε πικρὰ ἀμύγδαλα ὅλα καυθέντα καὶ ἐχίδνης δέρμα καὶ κεφαλὴ κεκαυμένη καὶ ἐχίνου χερσαίου δέρμα καὶ κεφαλὴ κεκαυμένη. τούτων τοῖς μὲν ἰσχυροῖς ὑγρὰν κηρωτὴν μιγνύειν, τὰ δὲ ἀσθενέστερα δεύειν ἐλαίῳ δαφνίνῳ ἢ ὑγρᾷ πίσσῃ· καὶ τὰς μὲν χρονίας καὶ δυσιάτους τοῖς ἰσχυροῖς θεραπεύειν, τὰς δὲ ἀρχομένας καὶ εὐιάτους τοῖς ἀσθενεστέροις. Κρίτωνος πρὸς ἀλωπεκίας. [45]

55 (50) ἀρκτείων τριχῶν κεκαυμένων ἀδιάντου κεκαυμένου καλάμου ῥιζῶν κεκαυμένων συκῆς φύλλων κεκαυμένων κιλικίου ῥάκους κεκαυμένου τὸ ἴσον ἑκάστου ἀναλάμβανε στέατι ἀρκτείῳ καὶ κεδρίᾳ· ἐπὶ δὲ τῆς χρήσεως πυρία, ἀνατρίβων τὸν τόπον συκῆς φύλλοις καὶ νίτρῳ ἀποσμήχων, κατάχριε τῷ φαρμάκῳ καθ’ ἡμέραν. Ἀρχιγένους πρὸς ἀλωπεκίαν. περιστερεῶνα ὀρθὸν ἐν ἡλίῳ τρίψας μετ’ ὄξους καὶ προεκνιτρώσας, ἐπίχριε καὶ ἐπιτίθει ἀραιὸν ὀθόνιον, ἀφαίρει δὲ προβρέχων τὸν τόπον. Ἄλλο. ἀλκυόνιον τὸ τραχύτερον καύσας πρὸς λύχνον καὶ σβέσας ὀποβαλσάμῳ ἀδόλῳ καὶ λεάνας σὺν αὐτῷ ἐπίχριε· προσμένει γὰρ ὡς ἐπίπαν καὶ οὐκ ἀφίσταται μέχρις ἐκφύωσιν αἱ τρίχες. Ἄλλο. λεπίδα σιδήρου στομώματος λεάνας ἐπὶ πολὺ σὺν ὄξει ἐν ἡλίῳ καὶ ἐπιβαλὼν ἐλαίου βραχὺ ἐπίχριε. Ἄλλο. κάσσυμα καινὸν καίων τὸ σαρκῶδες μετ’ ὄξους κατάχριε. Ἄλλο. ἵππου ὀδόντας καύσας χρῶ μετ’ ὄξους. ἄκρως δὲ ποιεῖ ἐπὶ τῶν χρονίων· θαψίας χυλὸν ἀναλαβὼν κηρωτῇ ἐπιτίθει τῷ τόπῳ μετὰ τοῦ μηδὲν ἄλλο περιεργάσασθαι. ἀφίσταται γὰρ ἄνωθεν ἡ ἐπιφάνεια καὶ ἰχωροποιεῖ καὶ ὑποφύονται τρίχες αὐτομάτως. Ἄλλο πρὸς ἀλωπεκίας καὶ πᾶσαν μαδάρωσιν καὶ ἀλφοὺς κεχρονισμένους.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κήρυκας καύσας λείου μετ’ ἐλαίου παλαιοῦ καὶ ποιήσας γλοιοῦ πάχος προξυρήσας καὶ ἀνατρίβων χρῖε, χρῶ· δόκιμόν ἐστιν. Ἄλλο Ἀσκληπιάδου. ἀφρονίτρου μέρη δύο ἁλὸς ἀμμωνιακοῦ μέρος ἕν· καύσας ταῦτα καὶ λεάνας σὺν ὄξει δριμυτάτῳ, ὡς ἔχειν γλοιοῦ πάχος, προκαταξυρήσας τὴν ἀλωπεκίαν κούφως, ὡς δασυνθῆναι τὸν τόπον, κατάχριε ἀνατρίβων μέχρι τοῦ εἰς βάθος παραδεχθῆναι τὸ φάρμακον καὶ τοῦτο ποιοῦμεν δεύτερον τῆς ἡμέρας. Ἄλλο. πράσιον χλωρὸν τρίψας ἐπίχριε. Ἄλλο. περδικίου βοτάνης χλωρᾶς τοῖς φύλλοις συνεχῶς ἀνάτριβε τὸν τόπον. Ἄλλο. σφαιρίτιδος φύλλα πεφρυγμένα λεάνας μετ’ ὄξους χρῶ. Ἄλλο. ἐχίνων θαλασσίων ὄστρακον κεκαυμένον μετὰ μέλιτος κατάχριε. Ἄλλο. ἐχίνου χερσαίου δέρμα ἢ τὴν κεφαλὴν καύσας χρῶ μετὰ μέλιτος. Ἄλλο. ἀλκυονίου < β θείου ἀπύρου < α μυιῶν πεφωγμένων ὡς ἀναξηρανθῆναι κυάθους β , τὰς μυίας λέαινε κατ’ ἰδίαν καὶ τὸ θεῖον, τὸ δὲ ἀλκυόνιον κόψας καὶ ἑψήσας ὕδατι συλλέαινε τοῖς ξηροῖς, παραχέων κατὰ βραχὺ χολῆς ὑείας καὶ ὄξους ἕως γλοιῶδες γένηται, εἶτα ὀξύγγιον ἀπὸ τροχῶν τῶν ἁμαξῶν ξύσας καὶ ἐπὶ τῆς χειρὸς ἀναμαλάξας, ὡς ἐμπλαστρῶδες γενέσθαι, καὶ μίξας προξυρήσας καὶ ἀνατρίψας κατάχριε θαρρῶν ὡς ἀρίστῳ. Ἄλλο. ἐχίνου χερσαίου καυθέντος ἡ σποδιὰ πίσσῃ ὑγρᾷ ἀναληφθεῖσα ἀλωπεκίας ἀπαλλάττει. Ἄλλο Σωρανοῦ, ᾧ καὶ Ἀρχιγένης ἐχρήσατο καὶ σφόδρα ἐπαινεῖ. προξυρήσας τὴν ἀλωπεκίαν καὶ ἀνατρίψας, ἔπειτα κατασχάσας ἐπιπολῆς, κρομύων ἢ ῥαφάνου φλοιὸν κατάπλασσε λειῶν ἕκαστον μετὰ μέλιτος ἢ ἀνατρίψας τούτοις ἐπίχριε. Ἄλλο. καρδάμου σπέρμα καὶ μυόχοδα καὶ πέπερι καὶ ἐλλέβορον λευκὸν ἴσα μετ’ ὄξους· ἔστι γὰρ πάνυ δόκιμον. Ἄλλο Ἀρχιγένους. ῥοὸς μαγειρικοῦ < δ σινάπεως < β μετ’ ὄξους. Ἄλλο. κανθαρίδας καύσας λειώσας μετὰ μελικράτου προανατρίβων χρῶ. Ἄλλο. κασσύματος καινοῦ τὸ ἐριῶδες καύσας ἐπὶ χαλκώματι λέαινε μετ’ ἐλαίου παλαιοῦ ἢ μέλιτος ἢ ὄξους καὶ κατάχριε· τοῦτο ταχέως ἄγει τὰς τρίχας. Ἄλλο. κυκλαμίνου ῥίζαν λείαν χλωρὰν ἐπίχριε ἢ ξηρὰν μετ’ ὄξους καύσας χρῶ. Ἄλλο. αἰλούρων ἀφόδευμα μετὰ νάπυος καὶ πεπέρεως σὺν ὄξει χρῶ. Ἄλλο. σκόρδον καύσας σὺν ῥοδίνῳ κατάχριε ἢ σεύτλου ῥίζαν ὁμοίως. Ἄλλο. ὄνου ὄνυχας κεκαυμένους ἀσφοδέλου ῥίζης κεκαυμένης ἀλκυονίου νίτρου ἴσα, ἀναλάμβανε ἐλαίῳ παλαιῷ καὶ χρῶ.

55 (100) Ἄλλο. ἐχίνων θαλασσίων σὺν τοῖς ὀστράκοις κεκαυμένων < β μυοχόδων < α κηκίδων ὀμφακίνων < β ἀμυγδάλων σὺν τοῖς ὀστράκοις κεκαυμένων < β , ὄξει διαλύσας ἐπίχριε, προανατρίβων τὸν τόπον. Ἄλλο. ἀλκυονίου κεκαυμένου κέρατος ἐλαφείου κεκαυμένου κυπέρου ὁλοκλήρου κεκαυμένου ἴσα, χρῶ σὺν ὄξει. Ἄλλο. ἀβρότονον κεκαυμένον σὺν ἐλαίῳ παλαιοτάτῳ χρῶ. Πρὸς ἀλωπεκίας καὶ φαλακρώσεις καὶ ἀραιότητας τριχῶν δυσαλθεῖς ἐπὶ κεφαλῆς καὶ ἐπὶ γενείων καὶ ἐπ’ ὀφρύων. προβάτου τριχῶν ℥ α καλάμου ῥίζης ℥ ς πτέρεως σὺν τῇ ῥίζῃ ℥ γ λοπίμου τῶν πωγωνιῶν ℥ γ ἐρίων οἰσυπηρῶν λιπαρωτάτων ℥ ς κεφαλὰς μυιῶν λ μυίας ε χωρὶς κεφαλῶν, πάντα εἰς καινὴν χύτραν ἐμβαλὼν ἔνθες ἰπνῷ καίεσθαι, εἶτα τὴν τέφραν λέαινε· προτετρίφθω δέ σοι ἐν οἴνῳ Ἀμιναίῳ λαδάνου ℥ α φύλλου ℥ β σμύρνης ℥ β ζιγγιβέρεως ℥ β καὶ προσεμβεβλήσθωσαν ἐλαίου παλαιοῦ ℥ β κεδρίνου ἐλαίου ℥ α , εἶτα παραπάσας τὰ ξηρὰ ἀνελοῦ· προανατρίψας δὲ ὀθονίῳ τὴν ἀλωπεκίαν, εἶτα κούφως ἀμυχαῖς χρησάμενος καὶ κρομύῳ ἢ σκίλλῃ ἢ συκῆς φύλλῳ ἀναξύσας ἐπίχριε ἀνατρίβων τὸ φάρμακον, καὶ λουσαμένῳ, εὐτόνῳ ὀθονίῳ ξέων, τοῦ λοιποῦ ἐπίχριε ἕως διμήνου ἐπιμένων καὶ φαλακρώσεις ἰάσῃ. Ὀριβασίου πρὸς ἀλωπεκίας. μυοχόδων ℥ α ὄνθους καμήλου ε κεκαυμένους κριθῆς κεκαυμένης δράκα δάφνης δεσμίδιον χειροπληθὲς κεκαυμένον ἀναλάμβανε μιγνύων ἀπὸ ἄξονος ῥύπον, τουτέστιν ἀπὸ τοῦ τροχοῦ τῆς ἁμάξης. Περὶ ῥεουσῶν τριχῶν.

56 πάθος ἕτερόν ἐστι τριχῶν, ἀραιότητι μὲν τοῦ δέρματος, ἐνδείᾳ δὲ τῆς διοικούσης αὐτὰς οὐσίας ἑπόμενον. διὸ καὶ ἡ θεραπεία τῶν οὕτως βλαπτομένων οὐ τὸν αὐτὸν ἔχει σκοπὸν ταῖς ἀλωπεκίαις. ἐπ’ ἐκείνων μὲν γὰρ ἐκδαπανῆσαι τὴν κακοχυμίαν ὁ σκοπός, ἐπὶ τούτων δὲ ῥῶσαι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν ἕξιν τῆς κεφαλῆς καὶ χρηστοῦ χυμοῦ παρουσίαν ἐργάσασθαι καὶ τοῦ δέρματος τὴν κατὰ πυκνότητα καὶ ἀραιότητα συμμετρίαν ἀνακαλέσασθαι· εἴωθε δὲ τὸ πάθημα τοῦτο περὶ τὰς τρίχας γίγνεσθαι πλειστάκις μὲν τοῖς νοσήμασι, σπανιάκις δὲ καὶ χωρὶς νόσου. καὶ οἱ πλεῖστοι χωρὶς φαρμάκου διὰ τῆς ἀναληπτικῆς τοῦ σώματος διαίτης ὑγιάσθησαν ἐν τάχει· ὅθεν τὰ φάρμακα ἔστω ἐπ’ αὐτῶν σύμμετρον πύκνωσιν ἐργαζόμενα τοῦ δέρματος, ἅμα τῷ μὴ ψύχειν αὐτό. τὰ γὰρ σφοδρῶς στύφοντα πάντως καὶ ψύχει καὶ τὴν ἐπιρροὴν τῆς τροφῆς ἀποκρούεται· ὅθεν καὶ μᾶλλον ἐκρέουσιν αἱ τρίχες. διὸ τὰ μετρίως στύφοντα μεμίχθαι χρὴ τοῖς ὑγιαίνουσι φαρμάκοις, ὁποῖόν ἐστι τὸ λάδανον καὶ τὸ σχίνινον ἔλαιον αὐτοφυῶς στύφοντα καὶ θερμαίνοντα μετρίως, ὥστ’ οὔτε ἐπειράθην οὔτ’ ἐπινοῶ κρεῖττον ἔσεσθαι φάρμακον ἐπὶ τῶν ῥεουσῶν τριχῶν τοῦ μιχθέντος ἔκ τε 〈τοῦ〉 λαδάνου καὶ τοῦ σχινίνου. εἰ δὲ μὴ παρείη τὸ σχίνινον τῷ ὠμοτριβεῖ καὶ ὀμφακίζοντι ἐλαίῳ κεχρῆσθαι. πρόδηλον δὲ ὡς ἐξυρημένης μὲν τῆς κεφαλῆς παχύτερον χρὴ προσφέρειν τὸ φάρμακον, ἐν χρῷ δὲ κειραμένοις ὑγρότερον. εἰ δὲ πολλὴ ῥύσις εἴη τῶν τριχῶν καὶ τεκμαίροιο τοῦ τῆς κεφαλῆς δέρματος ἀραιότητα γεγονέναι πολλήν, 〈οὐκ ἀνεπιτήδειον〉 ἀντὶ τοῦ σχινίνου τὸ μύρσινον ἔλαιον προσπλέκειν τῷ λαδάνῳ· μίξαις δ’ ἄν ποτε καὶ τὸ νάρδινον μύρον ἐν ἡλικίᾳ ψυχρᾷ καὶ ὥρᾳ χειμερινῇ. ἀγαθὸν δὲ φάρμακον εἰς ταῦτα καὶ τὸ τῶν πλουσίων γυναικῶν τὸ σπικάτον καλούμενον καὶ τὸ σαλκᾶ, ὥστε τούτοις καὶ κατὰ μόνας κέλευε χρίεσθαι τὰς πλουσίας. Κλεοπάτρα δέ φησι· πρὸς τὰς ῥεούσας τρίχας χρῶ τούτῳ· γῆν κιμωλίαν ἁδροτάτην βρέξον οἴνῳ αὐστηρῷ καὶ μόρων χυλῷ τοσοῦτον ὅσον συμπιεῖν μόνον καὶ πρόσβαλε ὑοσκυάμου σπέρματος λειοτάτου τὸ ἀρκοῦν καὶ συλλεάνας ἀνάπλασσε τροχίσκον καὶ ξηράνας ἐν σκιᾷ ἀπόθου εἰς ἀγγεῖον κεράμινον καινόν. ἐπὶ δὲ τῆς χρήσεως διεὶς ὕδατι σμᾶσθαι κέλευε, εἶτα ὅταν ξηρανθῇ ἐκκλυζέσθω. καὶ δι’ ἡμερῶν ε τὸ αὐτὸ ποίει· χρῶ δὲ αὐτῷ ἐπὶ τῶν θερμοτέρων κεφαλῶν. ποιεῖ καὶ πρὸς τὰ ἐν προσώπῳ καὶ τραχήλῳ λειχηνώδη. Ἄλλο πρὸς ῥεούσας τρίχας. περιστερεῶνα ὀρθὸν χλωρὸν σὺν ταῖς ῥίζαις βαλὼν ἐν ἐλαίῳ ὀμφακίνῳ ἡλίαζε ἡμέρας πλείους καὶ διηθήσας τὸ ἔλαιον, χρῶ καθ’ ἡμέραν ἀντὶ τοῦ κοινοῦ. εἰ δὲ μὴ παρείη χλωρὸν τὸ βοτάνιον, ξηρὸν λαβὼν σὺν ταῖς ῥίζαις καὶ κόψας καὶ σήσας, ἀναμίξας ἐλαίῳ ὡς 〈γλοιοῦ〉 πάχος ἔχειν καὶ ἐάσας ἡμέρας τινὰς χρῶ· ἔστι γὰρ ἀπαράβατον. Ἄλλο πρὸς τὰς ἀπορρεούσας τρίχας. λάδανον ἐν οἴνῳ λεάνας καὶ ἐπιβαλὼν ἔλαιον ὀμφάκινον ἢ μύρσινον χρῶ. Πρὸς τὰς ἐκ νόσου ἀπορρεούσας τρίχας. χαμαιλέοντος μέλανος ῥίζας ἑψήσας οἴνῳ κατάχριε παχύτερον τὴν κεφαλήν. ἀκτὴν καύσας καὶ μετὰ ῥοδίνης κηρωτῆς ὑγροτάτης μίξας χρῖε· αὔξει τὰς τρίχας καὶ πυκνοῖ τὸ δέρμα καὶ οὐ συγχωρεῖ ῥέειν· καὶ τὸ ναρκίσσινον μύρον χριόμενον οὐ συγχωρεῖ τὰς τρίχας ἀπορρεῖν. Ἄλλο. λάδανον καὶ ῥόδα λεάνας ἐν οἴνῳ παλαιῷ κατάχριε. συντηρεῖ καὶ μελαίνας ποιεῖ. Ἄλλο διαφυλακτικὸν τριχῶν· τὸ δ’ αὐτὸ καὶ μελαίνει. μύρτων μελάνων ξέστης εἷς σεύτλου σπέρματος ξ/ε α μυρσίνης ἀκρεμόνων λι α σελίνου σπέρματος λι α ἀδιάντου ξ ε′ τὸ ἥμισυ λαδάνου τὸ ἴσον οἴνου μέλανος Γρ ϛ , ἕψε ἄχρι παντελοῦς διαλύσεως· καὶ ὅταν τὸ τρίτον ἀπολειφθῇ, ἐπίβαλλε ἐλαίου ὀμφακίνου ἢ μύρου τινὸς ξ/β καὶ ἕψε πάλιν.

56 (50) ὅταν δὲ δὶς ἢ τρὶς ἀναβράσῃ, ἐκθλίψας τὸ ὑγρὸν καὶ διηθήσας ἐπιμελῶς ἀπόθου. ἐπὶ δὲ τῆς χρήσεως κινῶν παντελῶς χρῶ, περιαλείφων δὶς τῆς ἡμέρας τὰς τρίχας. ἐπὶ παίδων δὲ ποιεῖ καλὰς καὶ πυκνὰς τὰς τρίχας καρύου λέπυρον καυθὲν καὶ τριβὲν καὶ ἐν οἴνῳ καταχριόμενον. Ἄλλο. λωτοῦ τοῦ δένδρου τὰ φύλλα λεάνας κατάχριε. Πρὸς ὀφρύας λειποτριχούσας.

57 πρὸς δὲ τὸ μὴ ἀπορρεῖν τρίχας μηδὲ ὀφρύων μηδὲ ἄλλου τόπου τοῦ σώματος μελάνθιον καύσας καὶ μεθ’ ὕδατος τρίψας κατάπλαττε, ἔνθα ἂν βούλει τρίχας ἀναβαίνειν, μάλιστα δὲ ὀφρύων. Ἄλλο. μελίσσας πλείστας καύσας μίξας ἐλαίῳ χρῖε, προσέχων μὴ θίγῃς ἑτέρου τόπου, ἔνθα οὐ δεῖ τρίχας φύεσθαι. Ἄλλο. ἀνδροδάμαντα λίθον τρίψας μεθ’ ὕδατος, κατάχριε, ἐὰν δὲ θέλῃς λευκὰς ποιῆσαι, δι’ ὄξους αὐτὸν λείου. Ἐκ τῶν Γαληνοῦ μέλασμα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

58 τὰ βάπτοντα καὶ μελαίνοντα τὰς λευκὰς τρίχας φάρμακα διὰ τῶν αὐστηρῶν τε καὶ στρυφνῶν συγκείμενα βλάπτει μεγάλως· οὐ μόνον γὰρ ἐπιπολῆς, ἀλλὰ καὶ διὰ βάθους ἀλλοιοῖ τὸ δέρμα μέχρι τοῦ κατὰ τὰς ῥίζας τῶν τριχῶν τόπου. ἡ βλάβη δὲ ταῖς χρωμέναις γυναιξὶ γίγνεται, ποτὲ μὲν εἰς ἐπιληψίαν ἢ ἀποπληξίαν ἢ καταφορὰν ἢ κάρον ἐμπιπτούσαις, ἔστι δὲ ὅτε καὶ κατάρροις ἁλισκομέναις δυσλύτοις, ὥστε φθίσιν ἐπακολουθῆσαι. καὶ οἶδα πολλὰς γυναῖκας ἀποθνησκούσας ἐκ τοῦ καταψυχθῆναι τὴν κεφαλὴν ὑπὸ τῶν τοιούτων φαρμάκων. μᾶλλον δὲ βλάπτονται αἱ ψυχροτέραν τὴν κρᾶσιν ἔχουσαι. ἄνευ δὲ τῆς τῶν στυφόντων βλάβης, ὅσαι βούλονται μελαίνειν τρίχας, τῇ κεδρέᾳ χριέσθωσαν, πρὸ τριῶν ἢ τεττάρων ὡρῶν τοῦ λουτροῦ, ἔπειτα σμηχέσθωσαν λουόμεναι. χρὴ δὲ αὐτὴν ἄμικτον ἐλαίου παραλαμβάνειν ἐπὶ τῶν ξηρανθῆναι σφοδρῶς καὶ θερμανθῆναι δεομένων κεφαλῶν, ἐπὶ δὲ τῶν ἄλλων ἐλαίῳ μιγνύναι· σὺν γὰρ τῷ δαπανᾶν τὰς ὑγρότητας καὶ διὰ τοῦτο μελαίνειν τὰς τρίχας, καὶ τὰς ῥεούσας ἐπανορθοῦται καὶ τὰς μὴ ῥεούσας εὐαυξεστέρας ἐργάζεται. τὸ αὐτὸ δὲ ποιεῖ καὶ πίττα ὑγρὰ σὺν ἐλαίῳ παραλαμβανομένη. Ἀρχιγένης δὲ μελάσματα τριχῶν οὕτως γράφει· καππάρεως τὸν φλοιὸν τῆς ῥίζης ἕψε σὺν γάλακτι ὀνείῳ μέχρι τὸ τρίτον λειφθῇ, καὶ λεάνας κατάπλαττε εἰς νύκτα, προαποσμήχων τὰς τρίχας. Ἄλλο. πρίνου ῥίζης φλοιὸν συναφεψήσας ὕδατι, μέχρις ἁπαλὸς γένηται, αὐτῷ μὲν κατάπλαττε, τῷ δὲ ὕδατι σμήχου. Ἄλλο. ἀνεμώνης τὸ ἐντὸς τὸ μέλαν σὺν ἐλαίῳ μυρσίνῳ λεάνας ἐπίχριε. Ἄλλο. ἰτέας φλοιοῦ χυλὸν μετ’ ἐλαίου τρῖβε, ἄκρως μελαίνει. Ἄλλο. λίθος ἀλαβαντικὸς ἢ ἀλαβάνδινον καλούμενος, ὑπομελανίζων τῇ χρόᾳ, μετὰ τοῦ πυρροῦ καὶ διαυγοῦς, ᾧ αἱ γυναῖκες χρῶνται εἰς τὰ κόσμια, οὗτος λειούμενος καὶ σὺν οἴνῳ μέλανι ἢ ἐλαίῳ ὀμφακίνῳ παρατριβόμενος μελαίνει τὴν ἐπιφάνειαν τῶν τριχῶν. Ἄλλο· ἐνεργὲς βάμμα. λαβὼν ῥοὰν χλωρὰν ὀμφακίζουσαν, ταύτης περίτεμε τὸν τράχηλον εὐφυῶς, ὅπως τὸ ἀφαιρούμενον πῶμα ἁρμόδιον γένηται, εἶτα ἐκτινάξας τοὺς κόκκους, καταλιπὼν δὲ ἔνδον τοὺς ὑμένας τοὺς λεπτοὺς βάλε ἐπὶ τὸ κένωμα τῆς ῥοᾶς σησάμου ἀπλύτου < δ λιβάνου τὸ ἴσον, ἐπιβαλὼν ἐναλλὰξ σήσαμον καὶ λίβανον, ἄχρις οὗ πληθῇ τὸ κένωμα· καὶ τότε ἐπιτιθεὶς τὸ ἴδιον πῶμα καὶ πηλῷ περιπλάσας ἢ σταιτὶ σιτίνῳ καὶ ὀπτήσας ἐν κλιβάνῳ τὸν μὲν πηλὸν ἢ τὸ σταὶς περίελε, αὐτὴν δὲ λειοτρίβει τὴν ῥοὰν καὶ ἀπόθου εἰς ὑελοῦν ἀγγεῖον· ἔπειτα προσμηξάμενος τὴν κεφαλὴν καὶ ξηράνας, λαβὼν ὀλίγον τοῦ φαρμάκου καὶ μίξας ἐλαίῳ βραχεῖ, σύγχριε τὰς τρίχας καὶ τοῦτο ποίει πεντάκις, καὶ ποιεῖ αὐτὰς καὶ οὐλάς. τινὲς δὲ ἀντὶ τοῦ σησάμου καὶ τοῦ λιβάνου μελανθίου καὶ κηκίδων κεκομμένων ἀνὰ < δ ἐμβάλλουσιν εἰς τὴν ῥοάν. Ἄλλο μέλασμα τριχῶν, βάπτει καὶ τὰς οὐλάς. πρόσμηχε δὲ κιμωλίᾳ τὰς τρίχας καὶ τότε βάπτε· κρεῖττον δὲ προξυρήσαντα τὴν κεφαλὴν καταχρίειν παχυτέρῳ τῷ φαρμάκῳ φυλάσσων τὸ μέτωπον καὶ τὰ ἐγγὺς πάντα· δεδοκίμασται ἐπὶ πολλῶν καί ἐστιν ἀναγκαῖον πάνυ. θείου γναφικοῦ χαλκάνθου κηκίδων ἀσβέστου λιθαργύρου ἀνὰ ℥ β ἰοῦ σιδήρου ℥ α , πάντα λεάνας κατ’ ἰδίαν καὶ μεθ’ ὕδατος ὡς γενέσθαι χρίσμα χρῶ θαρρῶν, μὴ εὐλαβούμενος τὴν ἄσβεστον. οὐ καίει γὰρ διὰ τὸ ἀμαυροῦσθαι τὴν δύναμιν ὑπὸ τῶν ἄλλων. βάπτει καὶ ξύλα καὶ κέρατα καὶ ἔρια. Ἄλλο διὰ πείρας ἐνεργοῦν· ποιεῖ γὰρ τὰς τρίχας μελαίνας, ὥστε θαυμάσαι.

[45]

58 (50) συκῆς μελαίνης τῶν φύλλων μορέας τῶν φύλλων ἀμπέλου μέλανος [σταφυλῆς] τῶν φύλλων ἀνὰ λι τρʹ α , βρέχε πάντα ὕδατι ὀμβρίῳ ἡμέραν α , ἔπειτα ἕψε ἐπιμελῶς καὶ προξυρήσας τε τὰς τρίχας κατάπλασσε· εἰ δὲ μή, ὑγρότερον κατάχριε τὰς ῥίζας τῶν τριχῶν. Ἄλλο μέλασμα τριχῶν. λαδάνου κηκίδων ἀμυγδάλων πικρῶν κεκαθαρμένων τρυγὸς οἴνου ἀδιάντου φύλλων ἀνὰ ℥ ς οἴνου στεμφυλίτου ξέστας τρεῖς, βαλὼν πάντα εἰς ἀγγεῖον χαλκοῦν γεγανωμένον, ἕψε ἕως τὸ τρίτον λειφθῇ, εἶτα διηθήσας ἕψε ἐν ἑτέρῳ ἀγγείῳ μικρῷ ἕως μελιτῶδες γένηται. καὶ ἐπίβαλλε τούτῳ μύρου Μενδησίου ἢ ἑτέρου τοιούτου τὸ ἴσον καὶ ἀνακόψας ἀπόθου· καὶ τούτῳ χρῶ καθ’ ἡμέραν. ἔστω δὲ τὸ γάνωμα τοῦ χαλκοῦ μόλιβδος. Προφυλακτικόν, ὥστε μὴ γενέσθαι πολιάς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κολοκυνθίδα ἀγρίαν τρυπήσας κάθαρον τὸ ἔσω εὖ μάλα, εἶτα πλήρωσον αὐτὴν ἐλαίου δαφνίνου καὶ πρόσβαλε ὑοσκυάμου λευκοῦ σπέρματος μὴ τρίψας καὶ ἄφες ἡμέραν μίαν καὶ ἄλειφε χρησίμως ἅπαξ τοῦ ἐνιαυτοῦ. Μέλασμα πώγωνος. σκωρίαν σιδήρου καὶ μόλυβδον ἐν ὄξει ἑψήσας μέχρις οὗ τὸ τρίτον λειφθῇ, ἐπιχρίου, ἐλαίου ἀπεχόμενος. Πυρρὰς ποιῆσαι τρίχας.

59 πυρρὰς ποιοῦσι τρίχας θέρμοι ὠμοὶ σὺν ὕδατι καὶ νίτρῳ καταχριόμενοι, λωτοῦ τοῦ δένδρου πρισμάτων ἀφέψημα, κύπρου φύλλα λεῖα σὺν στρουθίου χυλῷ, ξάνθιον λεῖον καταπλασσόμενον, τρυγία οἴνου παλαιοῦ κεκαυμένη καὶ σὺν ἐλαίῳ βαλανίνῳ λειουμένη, ὡς ἱκανὸν ἔχειν πάχος· τούτῳ σύγχριε, ὅταν καθεύδειν μέλλῃς καὶ ἐς τὸ πρωΐ· ἔσονται ξανθαὶ παραδόξως. Λευκὰς ποιῆσαι τρίχας.

60 χελιδόνος κόπρον τρίψας σὺν χολῇ ταυρείᾳ σμῆχε καὶ γίγνονται λευκαί. Ἄλλο. φλόμου λευκῆς τὸ ἄνθος καύσας ὄξει σβέσον καὶ συμμίξας σμήγματι χρῶ. Οὐλὰς ποιῆσαι τρίχας.

61 ἀφρὸν ἁλὸς μετὰ σμύρνης δίδου σμήχεσθαι. Ἄλλο. καρπάσου ὀπὸν χρῖε καὶ μένουσιν οὐλαὶ καὶ μελαίνονται. Ἄλλο. ἀσφοδέλου ῥίζας καύσας καὶ λεάνας σὺν οἴνῳ χρῶ. Ἄλλο οὐλὰς ποιοῦν τρίχας. λινόσπερμον οἴνῳ βρέχων ἕψε ἐπ’ ὀλίγον καὶ διηθήσας μῖσγε τῷ χυλῷ ᾠοῦ τὸ λευκὸν καὶ ἀνάτριβε τὰς τρίχας ἑσπέρας καὶ ἐπιδέσμει τὴν κεφαλήν· τῇ δὲ ἑξῆς ἀπόπλυνε ἐν βαλανείῳ· καὶ τοῦτο ποίει πλειστάκις. ἐπὶ δὲ τῶν εὔψυκτον ἐχόντων κεφαλὴν ἐν βαλανείῳ χρῶ, καὶ μὴ ἀπόπλυνε τῇ ἡμέρᾳ ἐκείνῃ. Ἄλλο δόκιμον. στροβίλιον ὁλόκληρον χλωρὸν δεξιὸν α ἴρεως 𐅻 ιβ μυρσίνης 𐅻 α μύρτων 𐅻 α πολυτρίχου 𐅻 α c λαδάνου 𐅻 β κηκίδων 𐅻 α μαστίχης Αἰθιοπικῆς 𐅻 α ἑλίκων ἀμπέλου 𐅻 β δακρύου φοίνικος Γρ ιβ στέατος ἀρκείου Γρ ιβ σεύτλου σπέρματος Γρ ιβ ῥοῦ βυρσοδεψικοῦ Γρ ις στυπτηρίας σχιστῆς Γρ ς ἐλαίου ὀμφακίνου ξ/γ οἴνου στυφοῦ ξ/γ ἀρτεμισίας χυλοῦ σεραπιάδος τριόρχεως χυλοῦ πολυτρίχου χυλοῦ ἀσφοδέλου χυλοῦ ἀναγαλλίδος χυλοῦ ἀνὰ 𐅻 γ χρῶ. Περὶ τῶν φθειρόντων τὰς τρίχας.

62 τρεῖς εἰσι διαφοραὶ τῶν φθειρόντων τὰς τρίχας καὶ τὰ μὲν ἰδίως καλεῖται ψίλωθρα, τὰ δὲ λεπτυντικὰ τριχῶν, τὰ δὲ παντελῶς ἀφανίζοντα. τὰ μὲν οὖν εἰς τὸ παντελὲς ἀφανίζοντα σφαλερὰν ἔχει τὴν χρῆσιν. ἐνίοτε γὰρ οὐ μόνον τὰ χρισθέντα μόρια τοῦ σώματος ἄτριχα τοῦ λοιποῦ γίγνεται διὰ παντός, ἀλλὰ καὶ μέχρι τῆς κεφαλῆς καὶ τῶν γενείων καὶ τῶν ὀφρύων καὶ τῶν βλεφαρίδων ἡ ψίλωσις τῶν τριχῶν ἐξικνεῖται. τὰ δὲ λεπτυντικὰ καὶ τὰ ψίλωθρα τὴν χρῆσιν ἀκίνδυνον ἔχει. Ἀφανιστικὰ τριχῶν.

63 ἀφανίζειν δὲ τρίχας εἰς τὸ παντελὲς λέγεται θύννου ἧπαρ σεσηπός, βατράχων τῶν ἐν τοῖς καλάμοις γιγνομένων ἰχώρ, χελώνης θαλασσίας αἷμα, ἀμπέλου λευκῆς δάκρυον καὶ κισσοῦ καὶ βρυωνίας, σκολόπενδρα θαλαττία, ἀστέρες θαλάττιοι· μίγνυται δὲ τούτοις νίτρου καὶ ἀμόργης καὶ κεδρίας καὶ ἐλαίου τοῦ ἀλίνου λεγομένου, τουτέστιν ἀμυγδαλίνου, ἀλκυόνιά τε καὶ σανδαράκη καὶ τὰ τούτοις ὅμοια, κνίδης ἀγρίας τὸν καρπὸν λεάνας μετ’ ἐλαίου ἀνάτριβε συνεχῶς καὶ ἀπορρυήσονται αἱ τρίχες. βράδιον δὲ ποιεῖ καὶ ἐπὶ ἥβης παιδίων αὔξεσθαι τρίχας, ἐνίοτε δὲ καὶ τὰς οὔσας ἀφανίζει, ἀμπέλου δάκρυον σὺν ἐλαίῳ ἀλειφόμενον καὶ τὸ ἀπὸ τοῦ χλωροῦ κλήματος καιομένου ἱδρούμενον ὑγρόν. Ἄλλο ἄτριχον. τιθυμάλλου κιβωρίτου χυλοῦ κύαθον α οἴνου καὶ ἐλαίου ἀνὰ κύαθον α ἀναμίξας ἄλειφε ἐν βαλανείῳ καὶ βραχὺ ἱδρώσας, εἶτα περιξύσας εὑρήσεις τὰς τρίχας ἐν τῇ ξύστρᾳ. αἱ δὲ μεθ’ ἡμέρας θ ἀναβαίνουσαι τρίχες ἔσονται χνοώδεις. Ἄλλο. ὄνων τῶν ὑπὸ τὰς ὑδρίας < ιβ σανδαράκης < δ ἀσβέστου < η ἀρσενικοῦ < η κονίας ἀπὸ συκίνων ξύλων διηθισμένης κοτύλας β ὄξους κοχλιάριον α , ἑνώσας πάντα καὶ βαλὼν εἰς χυτρίδιον, ἕψε ἕως οὗ δοκιμάζοντί σοι αἵρει τὰς τρίχας καταχριόμενον καὶ χρῶ ἐν βαλανείῳ, ὡς προείρηται. Ἄλλο. βουγλώσσου καὶ ἀειζῴου χυλὸν ἑκάστου ἴσον λεάνας μετὰ κόπρου τραγείας, ἀναλάμβανε ἐν ὑελῷ πινακίῳ καὶ ἔα παγῆναι καὶ χρῶ ἐν βαλανείῳ. Ἄλλο.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βολβοῦ τοῦ λεγομένου ὑακινθίνου πορφυρᾶ ἔχοντος ἄνθη, τούτου τὴν ῥίζαν λαβὼν καὶ λεάνας μετὰ λιβάνου καὶ ἀμυγδάλων πικρῶν, ἐπίβαλλε ἔλαιον καὶ ἑνώσας ἀλείφου ἐν βαλανείῳ καθ’ ἡμέραν καὶ κατὰ βραχὺ φθείρονται. Ψίλωθρα τριχῶν. [20]

64 τῶν δὲ ψιλούντων τὰς τρίχας ἀσφαλῶς ἥ τε κονία στακτὴ χρήσιμός ἐστι καὶ ἀρσενικὸν καὶ σανδαράκη καὶ τίτανος ἄσβεστος. εὔδηλον δὲ ὅτι τῶν σφοδρῶν ἐν αὐτοῖς θραύεται ἡ δύναμις μίξει τῶν ἀσθενεστέρων ὑγρῶν, λέγω δὴ πτισσάνης χυλοῦ ἢ ὀρύζης. Κρίτων μὲν οὖν ψίλωθρον τοιοῦτον ἐν τοῖς κοσμητικοῖς ἀναγράφει· ἀσβέστου μέρη β ἀρσενικοῦ· μέρος α , ταῦτα βαλὼν εἰς θυίαν μολυβδίνην καὶ ὕδωρ θερμὸν ἐπιχέας ἢ πτισσάνης χυλόν, ὅταν μέλαν γένηται κινούμενον, κέλευε ἐν βαλανείῳ καταχρίεσθαι. τοῦτο λεῖον ποιεῖ τῶν τριχῶν τὸ σῶμα. καὶ ἡ φυομένη θρὶξ λεπτὴ ἀναβαίνει. Ἄλλο. ὄρυζαν κυάμους ἐρεβίνθους πτισσάνην ἕψε ἅμα ἐν ὕδατι καὶ τῷ ἀφεψήματι μῖσγε πρῶτον τὴν ἄσβεστον ἀρκοῦσαν κατὰ συνήθειαν καὶ κίνει, καὶ ὅταν διαλυθῇ, ἐπίπασσε ἀρσενικοῦ 𐅻 α καὶ ἑνώσας ἐπίβαλλε λειότατα σμύρνης 𐅻 α μαστίχης 𐅻 α κισσήρεως ὀπτῆς < δ ὀποῦ βαλσάμου κοχλιάρια β . Ἄλλο. σανδαράκην ὑοσκυάμου χυλῷ λεάνας κατάχριε. Ἔλαιον ψίλωθρον. συκῆς ἀγρίας καρποῦ 𐅻 ς καὶ τῶν φύλλων αὐτῆς 𐅻 ς ἐχῖνον χερσαῖον ζῶντα ὁλόκληρον ἀκονίτου χυλὸν τουτέστιν ἴρεως ἀγρίας λι α ἐλλεβόρου μέλανος λι α τρυγὸς οἴνου κεκαυμένου λι α ἰσχάδων μελανῶν λιπαρῶν λι α ἀρσενικοῦ σχιστοῦ 𐅻 δ κόστου κασσίας καρποβαλσάμου ἀνὰ 𐅻 δ ἐλαίου ξ/κ , κόψας πάντα καὶ βαλὼν σὺν τῷ χερσαίῳ ἐχίνῳ ζῶντι, ἕψε ἐπὶ διπλώματος μεθ’ ὕδατος θαλαττίου ξ/ε , ἄχρι τὸ ὕδωρ ἀναλωθῇ, καὶ καθελὼν ἀπὸ τοῦ πυρός, ἔα ἡμέρας γ καὶ ὅταν καταστῇ διηθήσας χρῶ τῷ ἐλαίῳ ἐν τῷ πρώτῳ θόλῳ τοῦ βαλανείου, πρὶν ἱδρῶσαι. Λεπτυντικὰ τριχῶν. [20]

65 τοῖς λεπτύνουσι τὰς τρίχας χρήσαιτ’ ἂν ἰατρὸς ἐπὶ τῶν σκληρὰς καὶ μεγάλας καὶ πολλὰς ἐχόντων τρίχας· ῥυπτικῆς δέ ἐστι τὰ τοιαῦτα δυνάμεως καὶ λεπτυντικῆς· ὥσπερ δὲ ἐν ἅπασι τοῖς ἄλλοις φαρμάκοις ἡ διαφορὰ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττόν ἐστιν, οὕτω κἀν τοῖς ῥυπτικοῖς. τὰ μὲν οὖν τῶν κριθῶν καὶ τῶν κυάμων καὶ ὀρόβων ἄλευρα, ἀφρόνιτρόν τε καὶ νίτρον μετριωτέρας ἐστὶ δυνάμεως. ὅσα δὲ τούτων ἰσχυρότερα ἐπὶ τῶν πάνυ σκληρὰς καὶ μεγάλας ἐχόντων τὰς τρίχας ἁρμόττειν, οἷόν ἐστι τὸ κεκαυμένον νίτρον καὶ ὁ ἀφρὸς τοῦ νίτρου καὶ τὸ ἀφρόνιτρον καὶ τὰ καλλάϊνα ὄστρακα καὶ τὰ τῶν κεραμίδων καὶ τὰ τοῦ κλιβάνου ὄστρακα κίσσηρις ἄκαυστός τε καὶ κεκαυμένη κηρύκων τε καὶ πορφυρῶν καὶ τῶν λοιπῶν ὀστρέων ὄστρακα κεκαυμένα (τὸ δὲ τῆς σηπίας καὶ ἄκαυστον) ἀλκυόνιά τε καὶ στρουθίου ῥίζαι, οἵ τε ἐλλέβοροι καὶ ἡ τῆς βρυωνίας ῥίζα καὶ ἡ τοῦ δρακοντίου καὶ ἀριστολοχίας καὶ πάνακος ῥίζα καὶ κάχρυ καὶ τὰ τοιαῦτα· εὐώδη δὲ αὐτὰ ποιῆσαι βουλόμενος μίξεις κυπέρου καὶ μελιλώτου καὶ ῥόδων ξηρῶν καὶ σχοίνου ἄνθους καὶ ἴρεως καὶ μελισσοφύλλου, τοῖς δὲ πλουσίοις καὶ νάρδου Κελτικῆς καὶ Ἰνδικῆς καὶ ἀμώμου καὶ φύλλου 〈μαλαβάθρου〉 καὶ σμύρνης καὶ κόστου· λεπτύνει δὲ τρίχας καὶ τέφρα κληματίνη καὶ συκίνη καὶ τιθυμαλλίνη παρατριβομένη λεία ἐν βαλανείῳ καὶ ἡ ἀπὸ τῶν κεκαυμένων γιγάρτων τέφρα στυπτηρία σχιστὴ κόπρος κυνεία ξηρά. Σμῆγμα λαμπρῦνον τὸν χρῶτα καὶ χνοώδεις ποιοῦν τὰς τρίχας πάνυ καλόν. μόρα ὠμότατα λαβὼν καὶ λεάνας μετὰ κιμωλίας καὶ νίτρου ἴσοις φύλαττε καὶ χρῶ. Ξηρίον λεπτυντικὸν τριχῶν ἐν βαλανείῳ διὰ πολλῆς πείρας. κισσήρεως ὀπτῆς σηπίας ὀστράκων κεκαυμένων νίτρου κιμωλίας ἴσα χρῶ θαρρῶν. Ἄλλο. πορφυρῶν ὀστράκων κεκαυμένων 𐅻 β ἀλκυονίου 𐅻 β νίτρου 𐅻 γ κιμωλίας 𐅻 η κισσήρεως 𐅻 δ , φρύξας πάντα λείου καὶ χρῶ ἐν βαλανείῳ καὶ θαυμάσεις. Ἄλλο, ᾧ ἐχρησάμεθα ἐπὶ τῆς κουβικουλαρίας. ἀσβέστου ἀπὸ μαρμάρου γεγενημένης λι α ἀρσενικοῦ 𐅻 α σταφίδος ἀγρίας κιμωλίας σηπίας ὀστράκων βρυωνίας ῥίζης ξηρᾶς στυπτηρίας σχιστῆς ἀνὰ < δ ψιμμυθίου 𐅻 α σαμψύχου ἀλόης ἐλλεβόρου μέλανος ἀνὰ Γρ ς , κόψας σήσας χρῶ καὶ βαλὼν ἐξ αὐτοῦ εἰς τὸ σύνηθες ψίλωθρον ὅσον < δ καὶ ὠῶν τὰ λευκὰ γ , ἔπειτα ἀποπλύνας τὸ ψίλωθρον, σμῆχε αὖθις τῷ ξηρῷ καὶ καθ’ ἑκάστην ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῷ βαλανείῳ σμηχέσθωσαν αὐτῷ. Ἄλλο σμῆγμα λαμπρυντικὸν καὶ χνοῦν ἀφαιροῦν. κυαμίνου ἀλεύρου κισσήρεως σεμιδάλεως ἀφρονίτρων λευκῶν ἀνὰ χοίνικας Ἀττικὰς β μαράθρου ἑψηθέντος σὺν πτισσάνῃ καὶ ἀποκλυσθέντος ὕστερον ὀξυμέλιτι καὶ ξηρανθέντος κοπέντος καὶ σησθέντος χοίνικας β σάπωνος Γαλλικοῦ λι β , μίγνυε τὸν σάπωνα τοῖς λοιποῖς προλειωθεῖσιν ἐπιτρίβων ταῖς χερσὶ καὶ χρῶ. Περὶ πιτυριάσεως.

66 πιτύροις ὅμοια ἀπὸ τοῦ τῆς κεφαλῆς δέρματος ἀποπίπτει πολλάκις ἐνίοις κνωμένοις· γίγνεται δὲ ὑπὸ μοχθηρῶν ἰχώρων, οὓς ἐκδαπανῆσαι σκοπός ἐστι. διαφορητικὰ τοίνυν καὶ ῥυπτικὰ προσακτέον φάρμακα, καθαρτικῷ φλεγμαγωγῷ πρότερον κενώσαντας ὅλον τὸ σῶμα, εἰ μεστὸν εἴη κακοχυμίας. ἔμιξαν δέ τινες τοῖς διαφορητικοῖς φαρμάκοις καὶ τῶν στυφόντων ἔνια, ῥωννύναι βουλόμενοι τὸ πεπονθὸς μόριον, ὡς μὴ ῥᾳδίως εἰς ἑαυτὸ καταδέξοιτο τοὺς ἐπιρρέοντας ἰχῶρας, ἀλλ’ ἀντιβαίνοι τε καὶ ἀποκρούοιτο, οἷόν ἐστι χάλκανθον καὶ τὰ παραπλήσια. σμήχει μὲν οὖν τὰ ἐν τῇ κεφαλῇ πίτυρα κιμωλία μετὰ σεύτλου χυλοῦ ἢ τήλεως ἢ ἀμφοτέρων ἅμα. Ἄλλο. κύαμον σὺν τῷ λέπει ἀλέσας χρῶ. Ἄλλο. πιτύρων χοίνικος ἥμισυ βρέξας ἐν ὕδατι ξ/α , εἶτα τρίψας ταῖς χερσὶν ἐπὶ πολὺ καὶ διηθήσας τὸν χυλὸν καὶ ἐπιβαλὼν ὄξους κοχλιαρίου τὸ ἥμισυ, ἕψε μέχρις οὗ πάχος λάβοι καὶ τούτῳ ἀπόσμηχε, εἶτ’ ἀπόπλυνε σεύτλου ἀφεψήματι ἢ τήλεως ἢ θέρμων. Ἄλλο. γῆς κιμωλίας θείου ἀπύρου τὸ ἴσον τρίψας μετ’ ὄξους ἐν βαλανείῳ ἀπόσμηχε καὶ θερμῷ ὕδατι ἀπόπλυνε τοῦτο. καὶ καταχρίειν δεῖ μὴ μόνον ἐν βαλανείῳ, ἀλλὰ καὶ χωρὶς βαλανείου. Ἄλλο. λιθαργύρου πηγάνου ἐλαίου ὄξους λεάνας κατάχριε· δέδωκεν ἡμῖν τοῦτο πεῖραν ἱκανήν. Ἄλλο. σικύου ἀγρίου ῥίζας ἑψήσας, τῷ ἀφεψήματι σμῶ. Ἄλλο. κιμωλίας λι β νίτρου βρυωνίας σικύου ἀγρίου φλοιοῦ τῆς ῥίζης ξηροῦ κυαμίνου ἀλεύρου ἀνὰ λι α κριθίνου ἀλεύρου καὶ θερμίνου ἀνὰ ἡμίξεστον· ἕκαστον ἰδίᾳ λειότατον ποιήσας καὶ μετρήσας, ἑνώσας χρῶ ἐν βαλανείῳ. Ἀρχιγένης φησὶ περὶ τοῦ διὰ τῆς βρυωνίας, ὅτι ἀντὶ παντὸς σκευαζέσθω σοι τοῦτο· εἰ οὖν σταθμῷ βούλει σκευάσαι, ποίει οὕτως· κιμωλίας 𐅻 ς νίτρου 𐅻 ε ἀλεύρου κυαμίνου 𐅻 γ σικύου ἀγρίου ῥίζης 𐅻 β βρυωνίας 𐅻 β κριθίνου ἀλεύρου καὶ θερμίνου ἀνὰ 𐅻 α . ὁ αὐτὸς δὲ Ἀρχιγένης φησὶ πρὸς πίτυρα· τήλινον ἄλευρον καὶ νίτρον καὶ κιμωλίαν μετὰ σεύτλου χυλοῦ μῖσγε καὶ χολῆς βοείας ἢ ὑείας, ὄξος ἐπιβαλών, κατάχριε, εἶτα μετὰ ὥραν μίαν ἀποκλύσας ἐπίχριε χαλκάνθῳ καὶ νίτρου ἀφρῷ μετ’ ἐλαίου. ἐν ἄλλοις κύμινον λειῶν ἢ μυροβάλανον καὶ κυάμινον ἄλευρον, ἴσα λεάνας ἐν ὕδατι ἢ κονίᾳ ὑδαρεῖ σμῆχε, ἢ ἀμυγδάλοις ξηροῖς λελευκασμένοις μεθ’ ὕδατος ἢ ὄξους λεάνας σμῶ. ὅταν δὲ ξηρανθῶσιν αἱ τρίχες, ἀπόπλυνε θερμῷ, ἢ μαλάχην ἀγρίαν ἐν θαλάσσῃ ἑψήσας, μέχρι τὸ ιβ λειφθῇ, λέαινε καὶ σμῶ· ἢ νίτρῳ καὶ κισσήρει καὶ τρυγὶ οἴνου ἴσοις μετὰ θέρμου σμῆχε· ἢ νίτρου ἀφροῦ καὶ χαλκάνθης ἴσα μετ’ οἴνου χρῶ, τρὶς ἢ τετράκις τοῦ μηνὸς τοῦτο ἐνεργεῖ, ὥστε μηδὲ τὸ λοιπὸν γενέσθαι. Ἄλλο. λιβανωτῷ λείῳ μετ’ ὄξους κατάχριε. Ἄλλο. σκορπιούρου χυλῷ κατάχριε. Ἄλλο. σκίλλαν ὀπτήσας καὶ ὅταν μαλακὴ γένηται ἐκπιάσας τὸν χυλὸν καὶ μίξας ἐλαίῳ κατάχριε. δίαιτα δὲ ἔστω ἄφυσος μηδὲν τῶν παχυχύμων ἔχουσα, οἷόν ἐστιν ὕδνα μύκητες βολβοὶ ὄσπρια καὶ κρέα μάλιστα τὰ βόεια καὶ τὰ ὅμοια. ἔστω δὲ τὰ προσφερόμενα εὐκοίλια εὔπεπτα καὶ προσπλεκέσθω μέλι ταῖς τροφαῖς. ἔμβαμμα ὄξος μετὰ ἑψήματος ἄρτυμα κύμινον σέλινον μάραθρον. τῶν δὲ ἄλλων πεφεισμένη ἡ χρῆσις ἔστω, καὶ μάλιστα τραγήματος παντὸς φείδεσθαι. οἶνος λεπτὸς καὶ λευκὸς χρήσιμος εἰς ἡδονὴν δὲ καὶ ὁ γλυκὺς καὶ τὸ οἰνόμελι. ὀπώρας ἄριστον μὲν σταφυλὴ μαρανθεῖσα, εἶτα σῦκον πρὸ τροφῆς, ἔπειτα ῥοὰ μετὰ πᾶσαν τροφήν. καὶ τὸ χλωρὸν ἀμύγδαλον χρήσιμον, πρὸ τροφῆς δὲ σιτεῖσθαι ἄμεινον. εὐπεψίας 〈δὲ〉 παντὸς μᾶλλον φροντιστέον, περίπατοι πραέοι πλεῖστοι καὶ ἕωθεν καὶ δείλης ἄριστοι.

66 (50) ψυχρολουσία βαλανείων κρείττων, θερμολουτοῦντι δὲ ἀνοίκειος ἡ πολλὴ διατριβὴ ἐν τῷ ἀέρι. καὶ ἡ κατὰ κεφαλῆς περίχυσις μᾶλλον τῆς ἐμβάσεως ἀμείνων. καὶ μετὰ ταῦτα δαψιλῶς τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ψυχρῷ ἀνάψυχε. ὑπνοῦν εἰς κόρον χρήσιμον, ὀργῆς καὶ θυμοῦ καὶ ἡλιώσεως καὶ σφοδρᾶς ψύξεως ἀπεχέσθωσαν καὶ πάντων τῶν τὴν κεφαλὴν πληρούντων. Περὶ φθειριάσεως. [55]

67 φθειρῶν γένεσις ἐν τῇ κεφαλῇ συμβαίνει τισίν, ἀθρόως παμπόλλων ὑγρῶν μετρίως θερμῶν ἐν τῷ βάθει τοῦ δέρματος συστάντων, ἔνθα καὶ γεννᾶσθαι τοὺς φθεῖρας συμβαίνει, οὐκ ἐπιπολῆς τοῦ δέρματος, ἐν ᾧ ἡ πιτυρίασις συνίσταται. φάρμακα τοίνυν αὐτῶν ἀναγκαῖον εἶναι ξηραντικὰ καὶ μᾶλλον ἐκ τοῦ βάθους ἕλκειν τε καὶ κενοῦν δυνάμενα. θέρμους τοίνυν ἑψήσας σὺν ὕδατι, τῷ ἀφεψήματι αὐτῶν σμᾶσθαι κέλευε ἢ μυρίκης ἀφεψήματι ἢ θαλάττῃ ἢ ἅλμῃ ἀκράτῳ μετ᾽ ὄξους κατάντλα, ἢ κισσοῦ χυλὸν μέλιτι μίξας κατάχριε ἢ περδικίου χυλὸν μέλλοντι καθεύδειν κατάχριε. Ἄλλο πρὸς φθεῖρας κεφαλῆς καὶ ὅλου τοῦ σώματος. κύπρου ἄνθος λεάνας μετ᾽ οἴνου, ἀνάτριβε τὴν κεφαλὴν καὶ ὅλον τὸ σῶμα, ὅταν μέλλῃς καθεύδειν. Ἄλλο. σταφίδος ἀγρίας μέρη δύο σανδαράκης καὶ νίτρου ἀνὰ μέρος ἕν· χρῶ μετ᾽ ὄξους. Ἄλλο. ῥοῦν μαγειρικὸν σὺν ἐλαίῳ λεάνας ἄλειφε. Ἄλλο. στυπτηρίαν σχιστὴν μετ᾽ ἐλαίου λεάνας χρῶ. Ἄλλο. ἐλλέβορον λευκὸν καὶ σταφίδας ἀγρίας καὶ νίτρον ἴσα μετ᾽ ἐλαίου ἐν βαλανείῳ χρῶ. Ἄλλο. ἀγρίου λαπάθου ῥίζαν σὺν ἐλαίῳ χρῶ ἢ πεπέρεως βραχὺ μετὰ πλείστου ἐλαίου χρῶ. Ἄλλο. ἐλαίῳ δαφνίνῳ ἢ ῥαφανίνῳ χρῶ· εἰ δὲ ψιλοῦνται αἱ τρίχες, τῇ ἀγρίᾳ σταφίδι μετ᾽ ὄξους καὶ ἐλαίου χρῶ ἢ στυπτηρίᾳ ὑγρᾷ μετ᾽ ἐλαίου. ὠφελοῦνται δὲ πίνοντες σκορόδου λείου < β μετὰ ὀριγάνου λείου < α μετὰ μελικράτου. Περὶ ἀχώρων καὶ τῶν λοιπῶν περὶ τὴν κεφαλὴν γιγνομένων αὐτομάτως ἐξανθημάτων. [20]

68 ὁ καλούμενος ἀχὼρ ἐν τῷ τῆς κεφαλῆς συνίσταται δέρματι λεπτὰς κατατρήσεις ἔχων, δι᾽ ὧν ἀπορρεῖ λεπτὸς ἰχὼρ γλίσχρος μετρίως. ὅμοιον δὲ αὐτῷ ἐστι καὶ τὸ καλούμενον κηρίον, ἐπειδὴ τὰς κατατρήσεις ἔχει μείζονας, ὑγρότητας περιεχούσας μέλιτι παραπλησίας. σκοπὸς οὖν ἐστι κενῶσαι τοὺς ποιοῦντας τὸ πάθος χυμούς· εἰ δ᾽ ἐπιρρέοιεν ἔτι, κωλῦσαι πρότερον τὴν ἐπιρροήν, κενοῦντας καθαρτηρίῳ πρῶτον ὅλον τὸ σῶμα· ἀρχόμενος ἀπὸ φλεβοτομίας, εἰ φέρει ὁ κάμνων, εἶτα καθαρτηρίῳ χρώμεθα τῷ ὀρῷ τοῦ γάλακτος σκευασθέντι διὰ μελικράτου, εἶτα μίξαντες αὐτῷ ἐπιθύμου λειοτάτου < γ . ἐρρέθη δὲ ἡ σκευασία τοῦ ὀροῦ ἐν τῷ δευτέρῳ λόγῳ κεφαλαίου ϟε . εἰ δὲ οὔκ ἐστιν ὁ καιρὸς τοῦ γάλακτος λαβὼν κολοκυνθίδα τελείαν ἔξελε αὐτῆς τὸ σπέρμα καὶ ἐχούσης αὐτῆς τὸ γναφαλῶδες, πλήρωσον αὐτὴν ἑψήματος ἢ οἰνομέλιτος καὶ ἔα βρέχεσθαι νύκτα καὶ ἡμέραν καὶ μετὰ ταῦτα θερμάνας δίδου καὶ καθαίρει. ἔπειτα καὶ τὴν κεφαλὴν δι᾽ ἐρρίνων καὶ ἀποφλεγματισμῶν 〈ἰάσῃ〉. ἁρμόσει δὲ αὐτοῖς διὰ μὲν τὸ πάχος καὶ τὸ γλίσχρον τοῦ χυμοῦ τοῦ γεννῶντος τὴν διάθεσιν τὰ τέμνοντα καὶ διαφοροῦντα φάρμακα. τοὺς δὲ ἀρχομένους ἀχῶρας, ὅταν ἀπέριττον ᾖ τὸ πᾶν σῶμα, ἰάσῃ διὰ τῶν στυπτικὴν δύναμιν ἐχόντων καὶ ἀποκρουστικήν. μυρρίναι δέ εἰσι τοιαῦται καὶ ὁ τοῦ πίτυος φλοιὸς καὶ βάτου φύλλα καταπλασσόμενα, ἀρνόγλωσσον καταπλασσόμενον ἀγρίας ἐλαίας χυλὸς σμώμενος ἰτέας φύλλα καὶ ἄνθος καταπλασσόμενα πολύγονον ὁμοίως. ἔνια δὲ ἀντιβαίνει σοι ταῖς αὐξήσεσι τῶν ἀχώρων, ὁμοῦ μὲν ἀναστέλλοντα τὸ ἐπιρρέον, ὁμοῦ δὲ συμπέττοντα καὶ διαφοροῦντα τὸ περιεχόμενον, μικτῆς ὄντα δυνάμεως, οἷστισι κεχρῆσθαι δεῖ μετὰ τὴν ἀρχήν. τοιοῦτον δέ ἐστι μύρσινον ἔλαιον καὶ ῥόδινον καὶ σχίνινον, βάτου χυλὸς σὺν ἐλαίῳ, ἀνδράχνης χυλὸς σὺν ἐλαίῳ, λάδανον σὺν οἴνῳ καταχριόμενον, κύπερός τε καὶ οἱ φακοί. τινὰ δὲ τοῖς ἐπιπολαίοις καὶ συμμέτροις βοηθεῖ, διαφοροῦντα μὲν καὶ ῥύπτοντα χωρὶς αἰσθητῆς θερμασίας, οὐ μὴν ἐρεθιστικόν τι ἔχοντα, οἷς δεῖ κεχρῆσθαι μάλιστα, ἐὰν ὀδύνη τις ᾖ τοῖς ἀχῶρσιν. ἄρχεσθαι δὲ καὶ τούτων προσήκει ἀπὸ τῶν ἀσθενεστέρων· κιμωλία τε οὖν ἐπιτήδειος εἰς τοῦτο καὶ ἡ Κρητικὴ γῆ καὶ Σαμία πομφόλυξ τε καὶ σπόδιον καὶ λιθάργυρος ἥ θ᾽ ἁπαλὴ καδμεία καὶ ἀδίαντον μετὰ ῥοδίνου ἐπιχριόμενον, τήλεως ἀφέψημα σμώμενον, μαλάχη λεία μετὰ αἰρίνου ἀλεύρου καταπλασσομένη, μελίλωτον σὺν τηλίνῳ ἀλεύρῳ μετ᾽ οἴνου καταπλασσόμενον, ἐρεβίνθων ἀφέψημα καὶ αὐτοὶ ἑφθοὶ καταπλασσόμενοι, κάρυα ταγγὰ πικρὰ μασηθέντα καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιχριόμενα. μηδὲν δὲ ἀνυόντων τούτων τὸ διὰ χάρτου ξηρίον ἐπίχριε σὺν ὄξει, εἰ δὲ δριμύτερόν σοι φαίνοιτο, λιθάργυρον ἴσον ἐπίβαλλε. μὴ παρόντος δὲ τοῦ διὰ χάρτου ξηρίου χάρτην καύσας καὶ τὴν τέφραν ὄξει δεύσας χρῶ ἐπὶ τῶν σκληροσάρκων. τινὰ δὲ οὕτως σφοδρὰν τὴν δύναμιν κέκτηται, ὥστε δύνασθαι κενοῦν τοὺς πάνυ παχεῖς καὶ γλίσχρους χυμούς, κἂν ἤδη σκιρρώδεις εἶεν, διαλύειν αὐτάς· τοιαῦτα δέ ἐστιν ἅλες χαλκῖτις τρὺξ οἴνου κεκαυμένη σανδαράκη τε καὶ τίτανος. τὸ δὲ ὄξος ἰσχυρότερον ἐν παντὶ καιρῷ πρὸς ἀχῶρας 〈τέμνον〉 καὶ διαφοροῦν καὶ ἀποκρουόμενον, δριμύτατον δέ ἐστι. διαφορεῖ δὲ κάλλιστα καὶ κρίνου ῥίζα σμωμένη καὶ λιβανωτὶς σὺν νίτρῳ καὶ ὕδατι, θέρμων πικρῶν ἀφέψημα σμώμενον, σικύου ἀγρίου ῥίζης ἀφέψημα μονογενῶς συκῆς φύλλα σὺν ὄξει λεῖα βολβοὶ σὺν νίτρῳ σμώμενοι, πηγάνου φύλλα καταπλασσόμενα, τήλινον ἄλευρον σὺν νίτρῳ σμώμενον, λίβανον μετ᾽ ὄξους καταχριόμενον, σίδια ῥόας μετὰ δαφνίνου ἐλαίου καταχριόμενα, σκόρδιον σὺν τῷ καυλῷ, καύσας τῇ τέφρᾳ μετ᾽ ἐλαίου χρῶ· πάνυ κάλλιστον.

68 (50) Ἄλλο. κάρυα βασιλικὰ ἐμασᾶτο γυνή τις καὶ ἐπετίθει τῷ παιδὶ ἀχῶρας ἔχοντι καὶ ἰάθη. Ἄλλο. ἀγχούσης ῥίζας καύσας, λεάνας μετ᾽ ἐλαίου ὡς γλοιοῦ ἔχειν τὸ πάχος, ἐπίχριε πτερῷ καὶ ὑγιάσεις. Ἄλλο. θύμον καύσας μετ᾽ οἴνου καὶ ἐλαίου, τὴν τέφραν δεύσας ἐπίχριε. Ἄλλο. κνῆστρον, ὃν ἐν Ἀλεξανδρείᾳ λιπαρῶνα καλοῦσι, καύσας καὶ τὴν τέφραν λεάνας μετ᾽ οἴνου ἐπίχριε. Ἄλλο. κήρυκας καύσας λεάνας τὴν τέφραν μετὰ ὕδατος χρῶ· ἔστι γὰρ σωτήριον φάρμακον οὐ μόνον πρὸς ἀχῶρας, ἀλλὰ καὶ πρὸς πᾶν γινόμενον ἐξάνθημα. ἐὰν δὲ περιπέσῃς ποτὲ ἀχῶρι φλεγμονώδει καὶ ὀδυνώδει, παρηγορήσεις δηλονότι τὴν φλεγμονὴν αὐτοῦ πρότερον ὑγρῷ φαρμάκῳ πεπτικῷ τε καὶ μαλακτικῷ καὶ ἀδήκτῳ, ὁποῖόν ἐστι τὸ πάρυγρον καὶ πάντα τὰ ἑδρικὰ καλούμενα καὶ τὰ πρὸς τὰ καρκινώματα ἀναγεγραμμένα. ἄλευρα οὖν κυάμινα οἴνῳ βρέξας καὶ λεάνας ὡς ἐμπλαστρῶδες γενέσθαι, ἐπιτίθει· ποιεῖ πρὸς τὰ πυρωδέστατα καὶ ἄγρια ἐν κεφαλῇ, μάλιστα ψυδράκια. Ἄλλο πρὸς τὰς μεγίστας καὶ φλεγμονώδεις ὀδύνας παρηγορικὸν ἀνώδυνον καὶ ἀποθεραπεῦον. τοῦ ἀστέρος κολλυρίου ἢ τῶν διὰ λιβάνων ἤ τινος τῶν παραπλησίων λεάνας μετὰ χυλοῦ ὑοσκυάμου ὀλίγου καὶ ἐπιβαλὼν ἕψημα καὶ ῥόδινον ἐπίχριε. Ἄλλη λιπαρὰ πρὸς ἀχῶρας ψύδρακας ἐκζέματα παρατρίμματα· ἔστι δὲ καὶ ἑδρικὴ ἀγαθή. λιθαργύρου < γ πηγάνου φύλλων ἁπαλῶν < πε , ὄξει διαλύσας καὶ ῥοδίνῳ ἢ μυρσίνῳ ἀναλαβὼν ἐπίχριε πτεροῖς· ἱκανὴν ἡμῖν πεῖραν ἔδωκεν. Ἄλλο παραπλήσιον. λιθαργύρου < δ ψιμμυθίου < ς θείου ἀπύρου < δ κηροῦ < δ ῥοδίνου ἢ μυρσίνου τὸ ἀρκοῦν, ὡς ἔχειν σύστασιν ὑγρᾶς κηρωτῆς. τὰ τηκτὰ τοῖς ξηροῖς ἐπίχεε καὶ ἑνώσας χρῶ. τοῦτο καὶ πρὸς τὰ ἐν ὅλῳ τῷ σώματι ἐξανθήματα χρήσιμόν ἐστιν. Ἄλλο πρὸς τοὺς καθύγρους ἀχῶρας. λαδάνου < η ψιμμυθίου τὸ ἴσον θείου ἀπύρου < δ , χρῶ σὺν οἴνῳ ἢ μυρσίνῳ. Ἄλλο. λαδάνου μύρτων μελανῶν λιθαργύρου θείου ὑοσκυάμου σπέρματος σιδίων 〈ἴσα〉 λεάνας παράχεε οἴνου καὶ μυρσίνου ἢ ῥοδίνου καὶ κατάχριε. Ἄλλο πρὸς τὰ πυρρώδη καὶ ἰχωρώδη καὶ λειχηνώδη. περιστερεῶνος ὑπτίου < η ἀκακίας < η σμύρνης < β οἴνῳ αὐστηρῷ λεάνας κατάχριε. ποιεῖ καὶ πρὸς τὰ ἐν τῷ γενείῳ. Ἄλλο ποιοῦν καὶ πρὸς τὰ ἐν τῷ γενείῳ. μύρτων σιδίων χαλκάνθου λιθαργύρου ἴσα, λεάνας σὺν οἴνῳ καὶ μυρσίνῳ χρῶ. Ἔμπλαστρος πρὸς ἀχῶρας· θεραπεύει τοὺς χρονιωτάτους. πιτυίνης ξηρᾶς κηροῦ στέατος ὑείου ἢ βοείου ἴσον ἑκάστου, τήξας ἅμα καὶ διηθήσας εἰς ὕδωρ καὶ ἐπὶ πολὺ ἀναμαλάξας χερσὶ χρῶ. Ἄλλη, ᾗ ἐχρήσατο ὁ Αἰγύπτιος ἐπὶ Παλλαδίου τοῦ Μαγιστριανοῦ ἐν Ἀλεξανδρείᾳ μετὰ τὸ ἀποτυχεῖν τὰ τῶν ἀρχιάτρων βοηθήματα. κολοφωνίας ℔ ς ἀμμωνιακοῦ θυμιάματος ℔ β χαλβάνης Γρ δ ἐλαίου < δ μαστίχης κηροῦ ἀνὰ ℔ α πιτυίνης ὑγρᾶς τῆς ξυλώδους < δ ἰοῦ Γρ δ ὀποπάνακος Γρ γ · εἰ δὲ δριμύτης εἴη πολλή, μὴ βάλῃς τὸν ἰόν. διαφορεῖ καὶ ἀποστήματα καὶ τὰ ἤδη ῥαγέντα ἐγκενοῖ καὶ ὑγιάζει. Πρὸς τὰ ἐν τῇ κεφαλῇ ψωρώδη.

69

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πήγανον καὶ στυπτηρίαν λεάνας μετὰ μέλιτος καὶ ξυρήσας τὰς τρίχας ἐπίχριε. Ἄλλο. θεῖον ἄπυρον καὶ σταφίδα ἀγρίαν λεάνας ἐπ’ ἴσης καὶ οὔρῳ μίξας ἐπίχριε. Πρὸς τὰ σμικρὰ καὶ πυκνὰ καὶ ἐρυθρὰ ἑλκύδρια ἐν τῇ κεφαλῇ.

70 θηλαῖς μαζῶν εἰσι παραπλήσια, ἀφ’ ὧν καὶ ἰχὼρ ἀπορρεῖ. ξυρήσας καὶ λίνου σπέρμα τρίψας καὶ μέλιτι δεύσας κατάπλασσε, ἢ κογχύλιον καύσας καὶ τρίψας ἐν ὕδατι κατάπλασσε, ἢ τὴν δι’ αἰρῶν ἔμπλαστρον ἐμπλάσας ἐπιτίθει καὶ ὅταν ἐκκενωθῇ τὰ ὑγρά, ἄρας ταύτην ἐπιτίθει τοῦ μυρσινάτου λεγομένου. Πρὸς τὰ ἐξέρυθρα ἐξανθήματα ἐν τῇ κεφαλῇ.

71 ψιμμύθιον σὺν δαφνίνῳ κατάχριε ἢ πίτυος φλοιὸν σὺν κηρωτῇ ὑγρᾷ ἢ ὄστρακον ἀπὸ κλιβάνου σὺν ὄξει ἢ οἴνῳ καὶ σεῦτλον ἑφθὸν κατάπλασσε, ἢ σεύτλου χυλὸν ἐμβαλὼν κηρωτῇ ῥοδίνῃ, ὅσον ἐπιδέχεται, ἐπιτίθει. Ἀναξηραντικὰ καὶ ἀπουλωτικὰ τῶν ἐν τῇ κεφαλῇ ἀχώρων.

72 λιθαργύρου < κδ ἀσβέστου τὸ ἴσον ὄξους 𐆂 α ῥοδίνου τὸ ἴσον, χρῶ. Ἄλλο σφόδρα καλόν· ἀναξηραίνει γὰρ τὰ ὑγρὰ ἕλκη καὶ ἀπουλοῖ. λιθαργύρου ψιμμυθίου κριθῶν κεκαυμένων ἴσα σὺν ῥοδίνῳ ἢ μωρσίνῳ ἐπίχριε. Ἄλλο· μηλίνη ὑγιεινὴ ἀναξηραντικὴ παντὸς ῥεύματος, μάλιστα ἐπὶ τῶν χρονίων. λιθαργύρου ψιμμυθίου ἁλὸς ὀρυκτοῦ ἀνὰ λι α στυπτηρίας σχιστῆς 𐆂 ς χαλκάνθου 𐆂 ς ἐλαίου λι β ὄξους ξ/α , ἕψε τὸ ἔλαιον μετὰ ψιμμυθίου καὶ λιθαργύρου καὶ τὸ ἅλας, λειοτάτου προσγενομένου ἑκάστου κατ’ ἰδίαν καὶ ἅμα. ὅταν δὲ ἀμόλυντον γένηται, τὴν σχιστὴν καὶ χάλκανθον ὄξει διαλύσας καὶ ἄρας τὸ φάρμακον ἀπὸ τοῦ πυρὸς καὶ ψύξας ποσῶς, ἐπίβαλλε κατὰ βραχὺ καὶ ἑνώσας κατάχεε ἐν τῇ θυίᾳ καὶ μαλάξας ἐπιμελῶς χρῶ. Σμῆγμα πρὸς ἀχῶρας.

73 παρακμαζούσης δὲ τῆς διαθέσεως καὶ οὐλῆς παντελῶς ἐπιγιγνομένης, εἰς ἀνασκευὴν τῆς ὅλης διαθέσεως χρηστέον σμήγμασι τοιούτοις ἐν βαλανείῳ. Σμῆγμα πρὸς ἀχῶρας καὶ πιτυριάσεις καὶ τραχύτητας καὶ ψωριάσεις. γῆς κιμωλίας λι β νίτρου ἐρυθροῦ τὸ ἴσον μυροβαλάνου λι α σμύρνης ἴρεως πεπέρεως ἀνὰ 𐆂 α νάρδου Κελτικῆς κασσίας κόστου ἀνὰ 𐆂 α , κόψας σήσας χρῶ ἐν βαλανείῳ. Πρὸς τὰ ἐν ὠσὶ πάθη.

74 ὤτων πόνοι γίγνονται διά τε ψῦξιν ὑπὸ ἀνέμων γιγνομένην ἢ ὑδάτων ψυχρῶν ἢ φαρμακωδῶν, ἐν οἷς λούονται, καὶ διὰ φλεγμονὴν τοῦ κατὰ τὸν πόρον δέρματος ἢ τοῦ ἐν βάθει ἀκουστικοῦ νεύρου. γίγνεται δὲ ὀδύνη καὶ διὰ πνεῦμα φυσῶδες οὐκ ἔχον διέξοδον. Πρὸς τὰς διὰ ψῦξιν ὀδύνας.

75 τὰς μὲν οὖν ὑπὸ ψύξεως μόνης γιγνομένας ὀδύνας τὰ θερμαίνοντα θεραπεύει τάχιστα. κρόμυον οὖν ἢ σκόρδον ἀποζεσθὲν ἐν ἐλαίῳ καὶ ἐμψυχθὲν ἰᾶται τὰς ψύξεις πάσας. ἐγὼ δὲ εὐφορβίου παντελῶς ὀλίγον ἐλαίῳ πολλῷ μιγνὺς χρῶμαι ἢ πεπέρεως ἀκριβέστατα λελειωμένου μετὰ οἴνου καὶ ἐλαίου· ὠφελεῖ δὲ καὶ τὸ ἀμαράκινον καὶ ἡ ἀρίστη νάρδος καὶ τὸ δαφνέλαιον καὶ τὸ πήγανον ἐλαίῳ γλυκυτάτῳ ἑψηθὲν ὀνίνησι μεγάλως. Πρὸς τὰς ἐξ ὕδατος φαρμακώδους ὀδύνας τοῦ πόρου τοῦ ὠτός.

76 ὅταν δὲ φαρμακῶδες ὕδωρ περιέχοιτο κατὰ τὸν ἀκουστικὸν πόρον, συνεχῶς ἔλαιον ἐγχεῖν προσήκει, ἐκκλύζοντας τὸ οὖς καὶ δι’ ἐρίου μαλακοῦ ἀπομάττοντας, εἶτ’ αὖθις ἐγχέοντας. παρηγορεῖ δ’ αὐτοὺς μεγάλως ᾠοῦ τὸ λεπτὸν καὶ λευκὸν μετὰ γάλακτος γυναικείου χλιαρὸν ἐγχεόμενον· πάντα γὰρ ἔστω μετρίως θερμὰ τὰ προσαγόμενα. ὠφελεῖ δὲ αὐτοὺς καὶ τὸ χήνειον στέαρ· ἄκρως δὲ καὶ ὁ διὰ τοῦ στόματος ἐκμυζησμὸς ἐπισπᾶται τὸ ὕδωρ· ἢ καλάμῳ ἐκμυζήσας ὡς διὰ σίφωνος, ἔνσταζε χυλὸν κρομύου μετὰ χηνείου στέατος· παρηγορεῖ γὰρ πάνυ. εἰ δέ τις καὶ ἐφ’ ἑνὶ ποδὶ τῷ κατὰ τὸ πάσχον οὖς ἅλλοιτο, παρεγκλίνων πως ἑαυτόν, ἐκκρίνεται ῥᾳδίως τὸ ὕδωρ. Πρὸς τὰς ἐν ὠσὶν ὀδύνας διὰ πάχος χυμῶν.

77 εἰ δὲ ἡ ὀδύνη τοῦ ὠτὸς μετὰ βάρους τῆς κεφαλῆς γένοιτο, παχεῖς καὶ φλεγματώδεις αἴτιοι τῆς ὀδύνης χυμοί. διάγνωσις δέ σοι γιγνέσθω καὶ ἐκ τῆς προγεγενημένης διαίτης. νίτρον οὖν καὶ

ἀφρόνιτρον τοῖς ὠτικοῖς μίξας φαρμάκοις καὶ λευκὸν καὶ μέλανα ἐλλέβορον ἀμύγδαλά τε πικρὰ καὶ ἀριστολοχίαν τὴν παροῦσαν καὶ σικύου ἀγρίου καὶ βρυωνίας ῥίζαν καὶ κενταυρίου τοῦ μεγάλου ῥίζαν καὶ τοῦ μικροῦ τὴν κόμην καὶ ἶριν καὶ κασσίαν καὶ καθόλου πάντα τὰ πικρά, ἀδήκτως καὶ ἀλύπως καθαίρει τοὺς πόρους καὶ διαρρύπτει καὶ τέμνει τὰ ἐμπεφραγμένα τῶν παχέων ὑγρῶν. Περὶ τῶν ἐν ὠσὶ ῥύπων.

78 νάρδινον μύρον χλιάνας ἔνσταζε καὶ τῇ ἑξῆς διὰ κυαθίσκου μηλωτρίδος τὸ προχειρότερον ἐκκάθαιρε καὶ πάλιν ἔγχεε τὴν νάρδον· εἰ δὲ σκληρὸς ὁ ῥύπος εἴη, νίτρον ὀπτήσας καὶ λειότατον ποιήσας ἔμπλασσε εἰς τὸ οὖς καὶ ἐπίσταξον ὄξος θερμὸν καὶ ἔριον προσθείς, ἔα διανυκτερεῦσαι, τῇ δ’ ἑξῆς κλύζε ὕδατι καὶ ἐλαίῳ θερμάνας. Περὶ τῶν ἐν ὠσὶν ἤχων.

79 οἱ ἐν τοῖς ὠσὶν ἦχοι ὡς ἐπίπαν φυσώδους πνεύματός εἰσιν ἔκγονοι, γίγνονται δέ ποτε καὶ δι’ ἀκρίβειαν τῆς ἀκουστικῆς αἰσθήσεως ἐκ τῶν ἀναθυμιάσεων. ἡ δὲ διάγνωσίς σοι ἔστω πρῶτον μὲν ἐκ τῆς κράσεως καὶ τῆς ἕξεως τοῦ ἀνθρώπου, ἔπειτα δὲ κἀκ τῆς προγεγενημένης διαίτης πάσης [εἶδος ἔχουσαι παχὺ καὶ γλίσχρον]. καὶ τὸ κατὰ βραχὺ δὲ συστῆναι τὸν ἦχον ἢ ἀθρόως γενέσθαι συντελεῖ τι πρὸς τὴν τῆς διαθέσεως εὕρεσιν· ἔτι δὲ τὸ διαλείμματα ποιεῖν ἢ παραμένειν τὰ συμπτώματα διηνεκῶς, ἀκριβὴς δὲ διάγνωσις αὕτη σοι γενέσθω. ἐὰν γάρ τις ὑπονοήσας 〈ἐπὶ〉 πνεύματι φυσώδει διέξοδον οὐκ ἔχοντι γίγνεσθαι τὸν ἦχον τὰ τέμνοντα καὶ λεπτύνοντα προσφέρων μηδὲν ἀνύῃ, μετὰ τοῦ καὶ ἀποφλεγματισμοῖς χρῆσθαι, τότε δι’ ἀκρίβειαν αἰσθήσεως στοχάζοιτο γίγνεσθαι τὸν ἦχον. ἐγὼ δὲ ἐπὶ τῶν τοιούτων προσπλέκω τῶν ναρκούντων τι τὴν αἴσθησιν, οἷον μανδραγόρου χυλὸν ἢ ὄπιον βραχύτατον ἢ ἔλαιον ἐναφεψημένων αὐτῷ γῆς ἐντέρων ἐκχέω. πρὸς δὲ τοὺς ἐπὶ πνεύματι φυσώδει συνισταμένους ἤχους χρήσιμά ἐστι τὰ τοιαῦτα. Ἀπολλωνίου πρὸς τοὺς ἐξαίφνης γινομένους ἤχους καὶ βόμβους καὶ συριγμούς. ὄξος δριμύτατον θερμαίνων ἔνσταζε ἢ ὄξος μετὰ ῥοδίνου θερμαίνων ἔγχει· εἰ δ’ ἐπιμένοι, κύμινον πήγανον ἄνηθον καὶ μελάνθιον ἑψήσας τῷ ὄξει καὶ ἐπιβαλὼν τῷ ῥοδίνῳ χρῶ. ἢ σικύου ἀγρίου ῥίζης χυλὸν ἔγχει ἢ αὐτὴν ἕψε τῷ ἐλαίῳ· εἰ δ’ ἐπιμένοι πλείονα χρόνον, χρῶ πᾶσι τοῖς πικροῖς καὶ δριμέσι καὶ λεπτυντικοῖς καὶ διαφορητικοῖς τοῖς πρὸ βραχέως ἀναγραφεῖσιν ἐπὶ τῶν διὰ πάχος χυμοῦ ὀδυνωμένων, ἕκαστον ἑψῶν σὺν ὄξει καὶ μέλιτι προσπλέκων. ποιεῖ δὲ πρὸς τοὺς κεχρονισμένους ἤχους καστόριον καὶ ναρδόσταχυ ἴσα μετ’ ὄξους καὶ ῥοδίνου. Ἄλλο πρὸς ἤχους χρονίους. στρουθίου κρόκου καστορίου ἀφρονίτρου ἐλλεβόρου λευκοῦ ἴσα ὄξει λείου καὶ ποίει τροχίσκους καὶ χρῶ σὺν οἴνῳ. ἐπὶ δὲ τῶν ἐκ νόσου ἤχων ἀψινθίου ἀφεψήματι πυριάσας ἢ ὄξος μετὰ ῥοδίνου ἔγχει ἢ ῥαφάνου χυλοὺ μετὰ ῥοδίνου ἢ ἀλόην καλλίστην μετὰ οἰνομέλιτος· εἰ δ’ ἐπιμένοι, ἐλλέβορον μέλανα ἑψήσας ὄξει χρῶ. Πρὸς δυσηκοΐας καὶ κωφώσεις.

80 τοὺς δυσηκοοῦντας καθαρτέον τῇ ἱερᾷ ἢ τοῖς δι’ ἀλόης καὶ κολοκυνθίδος καταποτίοις ἀποφλεγματιστέον τε καὶ τὴν κεφαλὴν ξηραντέον ἅπαντι τρόπῳ καὶ ῥωστέον· ἔτι δὲ καὶ τῇ λεπτυνούσῃ διαίτῃ χρηστέον, εἰς αὐτὸ δὲ τὸ οὖς ἐμβλητέον φάρμακα διαιρετικά τε καὶ τμητικὰ καὶ λεπτυντικὰ γλίσχρων τε καὶ παχέων χυμῶν, ὧν ἡ ὕλη ἤδη προείρηται ἐπὶ τῶν διὰ πάχος χυμῶν ὀδυνωμένων. Πυρίαι πρὸς δυσηκοΐας ἐκ τῶν Ἀπολλωνίου. πρὸς δυσηκοΐας τὰς ἐξαπίνης γινομένας καὶ τὰς ἐκ τῶν κεφαλαλγιῶν ἀψίνθιον μεθ’ ὕδατος ἑψήσας ἐν χύτρᾳ διὰ καλάμου πυρία, τὸ μὲν ἕτερον πέρας τοῦ καλάμου ἐναρμόσας τῇ κοιλότητι τοῦ ὠτός, τὸ δὲ ἕτερον τῷ τρήματι τοῦ πώματος τῆς χύτρας, ὥστε τὸν ἀναφερόμενον ἀτμὸν προσπίπτειν τῷ τῆς ἀκοῆς πόρῳ. Ἄλλο. δαφνίδας ἢ φύλλα δάφνης ἑψήσας ἐν ὕδατι παραπλησίως χρῶ ἢ πήγανον ἢ ὀρίγανον ἢ ὕσσωπον ὁμοίως ἢ θάλασσαν σὺν ὄξει ὁμοίως. ἔστι δὲ κάλλιστον καὶ τοῦτο· οὖρον ταύρου, εἰ δὲ μή, βοὸς ἔχον ὄξους τὸ τρίτον μέρος καὶ μυρσίνας κεκομμένας ἑψήσας ὁμοίως χρῶ. περὶ δὲ τὸ οὖς κύκλον χρὴ ποιεῖν ἐξ ἐρίου, πρὸς τὸ μὴ καίεσθαι τοὺς κύκλῳ τόπους. Κλυσμοὶ δὲ τούτοις ἁρμόζουσιν· ὄξος δριμὺ λευκὸν καὶ ὕδωρ ἴσον καὶ νίτρον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λειότατον θερμάνας ἔγκλυζε ἡμέρας πλείους καὶ μετὰ τοῦτο ὕδατι θερμῷ ἀπόπλυνε· καὶ οὕτως ἐγχυμάτιζε τοῖς ὑπογεγραμμένοις. Ἄλλο. θεῖον ἀφεψῶν ὕδατι ἐν χύτρᾳ κλύζε τὸ οὖς συνεχῶς. Ἐγχύματα δὲ πρὸς δυσηκοΐας χρήσιμα· πράσου χυλὸν καὶ ἴρινον μύρον μίξας χλιάνας ἐγχυμάτιζε. Ἄλλο. ἐλλεβόρου μέλανος ῥίζαν λείαν μετ' ὄξους καὶ μέλιτος λεάνας ἐντίθει ἄχρι τῆς ἀκοῆς καὶ ἔα ἐφ' ἡμέρας πέντε. Ἄλλο. αἰγὸς πρόσφατον ἐσφαγμένης ἄρας τὸ κέρας πλήρωσον οὔρου αἰγός, μάλιστα μὲν τοῦ εὑρισκομένου ἐν τῇ κύστει αὐτῆς, εἰ δὲ μή, ἑτέρου τετηρημένου καὶ κρέμασον εἰς καπνὸν ἐπὶ ἡμέρας ἐννέα καὶ χρῶ. Ἄλλο πρὸς δυσηκοΐαν. ἥλους καλιγίων παλαιῶν τὸν ἀριθμὸν ρ βρέχε ἐν οἴνῳ Ἀμιναίῳ ἐπὶ ἡμέρας ζ καὶ ἑψήσας μέχρι βρασμάτων ζ διηθήσας φύλαττε· καὶ ἐπὶ τῆς χρείας θερμάνας ὅσον ἐξαρκεῖ, ἔγχει. τούτῳ κἀγὼ χρησάμενος ἐθεράπευσα κωφόν. Ἄλλο πρὸς δυσκωφίας. ἀσφοδέλου ῥίζαν ἐν ἐλαίῳ ἑψήσας χρῶ· ὠφελεῖ δὲ καὶ τὰς χρονίας δυσκωφίας. κάλλιστον δὲ καὶ σικύου ἀγρίου τῶν ῥιζῶν ἢ τῶν φύλλων ὁ χυλὸς σὺν ὄξει ἐγχεόμενος· ἢ οὖρον αἰγὸς καὶ χολὴν αὐτῆς ἅμα θερμάνας ἐγχυμάτιζε· ἢ καστόριον μετὰ δαφνίδων καὶ ὄξους ἢ ἐλλέβορον μέλανα σὺν ὄξει λεάνας καὶ μέλιτι ἐπὶ πολὺ ἑψημένῳ ἀναλαβὼν ποίει κολλύρια βαλανοειδῆ μικρὰ καὶ ἐντίθει τῷ πόρῳ καὶ ἔα ἡμέρας τρεῖς. Ἄλλο. καρδάμου σπέρματος ὅσον ἐξαρκεῖ καὶ νίτρου βραχὺ σύκου λιπαροῦ σαρκίῳ χωρὶς τῶν κεγχραμίδων ἀναλαβὼν ποίει βαλάνια ἁρμόδια τῷ πόρῳ τῆς ἀκοῆς· καὶ ἐντίθει καὶ ἔα ἡμέρας τρεῖς· τοῦτο ἄγει ῥύπον ἱκανὸν καὶ παραχρῆμα κουφίζει. ἐνίοτε δὲ ἀντὶ τοῦ καρδάμου σίνηπι βάλλομεν. χρῶ αὐτῷ καὶ πρὸς τὸν ἐν ὠσὶ ῥύπον. βοηθεῖ δὲ ἱκανῶς τοῖς δυσηκοοῦσι καὶ σπογγιὰ εἰς λεπτὰ κατατετμημένη καὶ συνεστραμμένη καὶ μέλιτι καταβρεχομένη καὶ ἐντιθεμένη τῷ πόρῳ· τὸ αὐτὸ δὲ χρήσιμόν ἐστι καὶ πρὸς τὴν φυομένην ἐν τῷ ἀκουστικῷ πόρῳ σάρκα περιττήν. Ἄλλο. παντὸς ἰχθύος χολὴ ἐγχυματιζομένη ὠφελεῖ καὶ πέρδικος καὶ αἰγός. Ἄλλο. χολὴ ταύρου μετὰ γήρως ὄφεως λειοτάτου καὶ ὄξους ἀναλαμβανομένη καὶ ἐντιθεμένη τῷ πόρῳ λύει τὰς δυσηκοΐας, ἐνίοτε δὲ μετὰ ῥοδίνου· χρὴ δὲ ἀποπυριᾶν ὕδατι. Ἄλλο. ἐλελισφάκου χυλὸν μετ' ἐλαίου ὀμφακίνου ἔνσταζε εἰς τὸ οὖς καὶ χρῶ. [45]

80 (50) καλὸν λίαν. Ἄλλο. ἐχίνου χερσαίου χολὴν μετ' ἐλαίου ἔγχει. Ἄλλο. ἐλλεβόρου λευκοῦ < δ καστορίου < β ἀφρονίτρου < α χρῶ μετ' ὄξους καλλίστου. χρῶ δὲ καὶ τῷ διὰ τῶν πικρῶν ἀμυγδάλων τροχίσκῳ μετ' ὀξυμέλιτος· ἀναγέγραπται δὲ πρὸς ὦτα πυορροοῦντα. Πρὸς φλεγμονὰς ὤτων.

81 τὰς μετρίας καὶ μὴ σφυγματώδεις φλεγμονὰς ἰᾶται ὀξυρόδινον χλιανθὲν καὶ γλαύκιον ἐπ' ἀκόνης ἰατρικῆς ἀποτριβόμενον μετὰ γλυκέος οἴνου καὶ βραχέος ὄξους. εἰ δὲ σφοδροτέρα εἴη ἡ φλεγμονή, παρηγορεῖ μὲν τὰς ὀδύνας τὸ λεπτὸν καὶ λευκὸν τοῦ ὠοῦ μετὰ γάλακτος γυναικείου ἐγχεόμενον χλιαρόν. κάλλιστον δὲ πρὸς αὐτοὺς φάρμακον τὸ νάρδινον μύρον μετὰ βραχυτάτου φαρμάκου τοῦ βασιλικοῦ ἢ μετὰ χηνείου στέατος ἢ φασιανοῦ. μεγάλης δὲ οὔσης τῆς ὀδύνης ἀναγκαῖον χρῆσθαι τοῖς ναρκοῦσι τὴν αἴσθησιν, τῷ γυναικείῳ γάλακτι καὶ τῷ λευκῷ τοῦ ὠοῦ μιγνύντας πάνυ βραχύτατον ὄπιον, μιγνύειν δὲ καὶ καστορίου, πρὸς μὲν τὰς σφοδροτέρας ὀδύνας ἴσον, πρὸς δὲ τὰς κουφοτέρας διπλάσιον. ἡμεῖς δὲ καὶ λειοῦντες τὸ ὄπιον καὶ τὸ καστόριον εὖ μάλα μετὰ ἑψήματος ἀναπλάττομεν εἰς τροχίσκους καὶ ἐπὶ τῆς χρείας ἀνέσαντες μετὰ τοῦ ἑψήματος καὶ χλιαίνοντες ἐγχέομεν· χρὴ δὲ μηδὲ ὅλως ψαύειν τοῦ ἀκουστικοῦ πόρου κατὰ τὸν καιρὸν τῆς ὀδύνης, πυριᾶν δὲ διὰ μηλωτρίδος ἠμφιεσμένης ἐρίῳ μαλακωτάτῳ, βάπτοντες τὸ μετὰ τὴν μηλωτρίδα ἔριον κεχλιασμένῳ τῷ βασιλικῷ φαρμάκῳ μετὰ τῆς νάρδου ἢ ἑτέρῳ τῷ ἐγχεομένῳ καὶ ἐντιθέντες κατὰ τὴν ἀρχὴν τοῦ ἀκουστικοῦ πόρου καὶ συγχωροῦντες ἀπορρεῖν εἰς τὸ βάθος τὸ φάρμακον καὶ συνεχῶς τοῦτο ποιεῖν. πεπληρωμένου δὲ τοῦ πόρου ἐπίφραττε ἄνωθεν ἐρίῳ. εἰ δὲ θέρος εἴη καὶ θερμασίας πολλῆς αἴσθησις τῷ κάμνοντι κατὰ τὸ φλεγμαῖνον οὖς γένηται, διὰ ῥοδίνου καλοῦ γιγνέσθω ἡ πυρία.

παραμυθεῖται δὲ τὰς ζεούσας φλεγμονὰς ἐνσταζόμενα χλιαρὰ μετὰ τοῦ ῥοδίνου ἑλξίνης χυλὸς καὶ πολυγόνου καὶ ἀνδράχνης καὶ ξυσμάτων κολοκύνθης, ἀράχναι τὰ ζῷα ἑψόμεναι μετὰ ῥοδίνου καὶ οἱ ὑπὸ τὰς ὑδρίας ὄνοι ὁμοίως καὶ γῆς ἔντερα ὁμοίως καὶ σίλφης κατοικιτιδίου τὸ ἐντὸς μετὰ ῥοδίνου ἀμυγδάλινον ἔλαιον ὑοσκυάμινον ἔλαιον. Ὠτικὸν διὰ χυλῶν πρὸς τὰς δυσμεταβλήτους φλεγμονάς, ἐκπτυίσκει γὰρ αὐτὰς ταχέως. κολοκύνθης ξυσμάτων χυλοῦ καλάμου χυλοῦ ὑοσκυάμου χυλοῦ περδικιάδος χυλοῦ κράμβης χυλοῦ ἀνὰ κύαθον α νίτρου ὀπτοῦ σμύρνης κρόκου ἀνὰ < δ νάρδου μύρου ϝ α στυπτηρίας ὑγρᾶς ϝ β ὄξους σκιλλητικοῦ ϝ β μέλιτος καλλίστου λι α ἀναλαβὼν ἀπόθου ἐν ὑέλῳ ἀγγείῳ· καὶ ἐπὶ τῆς χρείας ἀνέσας μετὰ ῥοδίνου ἢ ναρδίνου χρῶ. Ἄλλο πρὸς τὰς χρονιζούσας καὶ δυσμεταβλήτους φλεγμονὰς τῶν ὤτων. χαλβάνης < δ στέατος ταυρείου < δ κηροῦ κολοφωνίας σάπωνος ἀνὰ < γ πίσσης < α , προτήξας κολοφωνίαν πίσσαν στέαρ ἐπίβαλλε τὴν χαλβάνην μετὰ τοῦ κηροῦ προμεμαλαγμένην, ἔπειτα τὸν σάπωνα καὶ διηθήσας χρῶ. ἐπὶ δὲ τῆς χρείας ὕδατι ἐπ’ ἀκόνης ἢ σὺν ἐλαίῳ τινὶ ἀνέσας. Ἄλλο πρὸς τὰς κατὰ τὸ ἄκρον περιωδυνίας. ἀλόην καλλίστην οἰνομέλιτι ἀνέσας ἔνσταζε. Ἄλλο. ἔρια οἰσηπηρὰ ζέσας ὄξει ἐγχυμάτιζε καὶ αὐτὸ τὸ ἔριον ἐντίθει εἰς τὸ οὖς. εἰ δὲ πραότερον αὐτὸ ποιῆσαι βούλοιο, μετὰ ἑψήματος καὶ ὄξους ἕψει τὰ ἔρια. Πρὸς τὰ χωρὶς ἑλκώσεως καθυγραινόμενα ὦτα, οἷον διιδροῦντα καὶ ὀρρῶδες ὑγρὸν ἐκφέροντα.

82 μίσυ ἐν ὀθονίῳ ἐνδύσας καὶ κρύψας ἄνθραξι καὶ καύσας καὶ λεάνας ἅμα τῷ συγκαυθέντι ὀθονίῳ ἐμφύσα διὰ καλάμου, ἢ κηκῖδα λεάνας καὶ ἐνδήσας ὀθονίῳ καῖε καὶ χρῶ ὁμοίως, ἢ στυπτηρίαν ὀπτήσας ἐπ’ ὀστράκῳ καὶ λεάνας ἔλαιον προσεγχέας ἐμφύσα. παυσαμένης δὲ τελέως τῆς φλεγμονῆς ἐγχεῖν ὕστερον εἰς τὸ οὖς καστόριον σὺν ἐλαίῳ λύειν μηχανωμένους τὴν ἐκ τῆς κακώσεως βλάβην. Πρὸς ἕλκη ἐν τῷ πόρῳ τοῦ ὠτός, ὅσα μὲν πρόσφατα τῶν ἑλκῶν τό τε γλαύκιον ἐκθεραπεύει, μόνον ἀποτριβόμενον μετ’ ὄξους καὶ τὰ δι’ αὐτοῦ κολλύρια πάντα καὶ τὰ διάκροκα καὶ τὰ διάρροδα καλούμενα.

83 θεραπεύει δὲ αὐτὰ καὶ τὸ Δαμοκράτους διάσμυρνον. τὰ δὲ πυορροοῦντα χωρὶς ὀδύνης, ὅσα μὲν μετρίως τοῦτο πάσχει, διὰ τῶν αὐτῶν θεραπεύεται, τὰ δὲ ἰσχυρῶς πυορροοῦντα διὰ τῶν τροχίσκων, ὁποῖός ἐστιν ὁ τοῦ Ἄνδρωνος καὶ μάλιστα ὁ τοῦ Μούσα μετὰ ἑψήματος καὶ ὀλίγου ὄξους ἀνιέμενος. νικωμένων δὲ καὶ τούτων σκωρίαν σιδήρου δι’ ὄξους δριμυτάτου λεάνας ἐν ἡλίῳ τοῖς ὑπὸ κύνα καύμασιν ἀνάπλασσε τροχίσκους καὶ χρῶ μετὰ ὄξους. εἰ δὲ οὔκ εἰσι τὰ κυνοκαύματα τὴν σκωρίαν τοῦ σιδήρου λειοτάτην ποιήσας καὶ λεάνας σὺν τῷ ὄξει ἕψε ἐπ’ ἀνθράκων καλῶς ἄχρις ἂν ξηρανθῇ καὶ χρῶ μετ’ ὄξους. Κλυσμοί. Ἀπολλώνιος δὲ πρὸς τὰς ἑλκώσεις τῶν ὤτων τοιαῦτα γράφει· οἰνομέλιτι θερμῷ συνεχέστερον ἔγκλυζε ἢ μυρσίνην ἕψε σὺν τῷ οἴνῳ καὶ χρῶ. εἰ δὲ δυσῶδες εἴη τὸ φερόμενον, σίδια ῥόας καὶ φακὸν ἑψήσας τῷ οἴνῳ κλύζε χλιαρῷ. Ἐγχυτὰ δὲ μετὰ τοὺς κλυσμοὺς ἁρμόδια· χολὴν βοὸς ἢ μάλιστα χοίρου ἐν σιδίῳ ῥόας χλιάνας ἔνσταζε· τὸ αὐτὸ δὲ ποιεῖ καὶ αἰγὸς χολὴ καὶ ἰχθύος παντός. Ἄλλο κάλλιστον. στυπτηρίαν σχιστὴν λεάνας μετὰ ἑψήματος καὶ ὄξους ἕψε ἐπὶ θερμοσποδίᾳ, ἕως σχῇ μέλιτος πάχος καὶ χρῶ. ποιεῖ καὶ πᾶσα στυπτηρία μετὰ πολυγόνου χυλοῦ καὶ ἡ Ἐρασιστράτου πάγχρηστος ὑγρά. ἀναγέγραπται δὲ ἐν τοῖς ὀφθαλμικοῖς. ἄλλο. στυπτηρίας σχιστῆς κρόκου κηκίδων ἴσα χρῶ σὺν οἴνῳ αὐστηρῷ. Ἡρᾶ ὠτικὸν πρός τε ὀδύνας τὰς μεγάλας καὶ πύον λευκόν. ἀμύγδαλα πικρὰ λελεπισμένα κα ἀφρονίτρου λευκοῦ < γ λιβάνου < γ ὀπίου < γ κρόκου < δ χαλβάνης < β σμύρνης < α ἀλόης < δ ὄξει λειώσας ἀναλάμβανε, ποίει τροχίσκους καὶ χρῶ, ὀδύνης μὲν οὔσης ῥοδίνῳ διείς· πυορροούντων δὲ οἰνομέλιτι ἢ ὄξει καὶ ἑψήματι, δυσηκοΐας δὲ οὔσης σὺν ὄξει. Ἄλλο πρὸς τὰς χρονίας ἑλκώσεις. ἀλόης λιβάνου σμύρνης ἀνὰ < δ μίσυος < β δι’ ὄξους ἀνάπλασσε τροχίσκους καὶ χρῶ ἀνεὼν σὺν ὄξει καὶ ῥοδίνῳ. Πρὸς φθορὰς καὶ δυσωδίας ὤτων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

84 προκλύσας τῷ ἀφεψήματι τῶν σιδίων καὶ φακοῦ, ὡς προείρηται, χρῶ τοῖς ὑπογεγραμμένοις· στυπτηρίας Μιλησίας λι α χαλκάνθου < η σμύρνης < η ἀλόης < η κροκομάγματος < η οἴνου γλυκέος μυρσίτου ξ/γ , ἕψε στυπτηρίαν μετὰ τοῦ γλυκέος καὶ ὅταν συστῇ, ἐπίβαλλε τὰ λοιπὰ ὄξει προλειώσας καὶ ἑνώσας χρῶ μεθ’ ἑψήματος καὶ ὄξους. Ἄλλο πρὸς πυορροοῦντα καὶ δυσώδη. ἄρκτου χολὴν ἔνσταζε· εἰ δὲ ξηρὰ εἴη, ἀνέσας μετὰ ὄξους καὶ ἑψήματος χρῶ· ἄκρως γὰρ ποιεῖ. Αἰγυπτία πρὸς τὰς προειρημένας πάσας διαθέσεις, κἂν ὦσι συγγεγενημέναι. ἀμυγδάλων πικρῶν πεπέρεως λευκοῦ κυάμων Αἰγυπτίων τοῦ ἐντὸς ἀνὰ < β κρόκου σμύρνης ὀπίου λιβάνου καστορίου ἀνὰ < β ὀμφακίου < δ χαλκάνθου < δ ἀφρονίτρου < β ὄξει λείου ἐναφεψημένων αὐτῷ σιδίων καὶ ἀναλάμβανε τὸ φάρμακον, ὡς ἔχειν γλοιοῦ πάχος· ἐπὶ δὲ τῆς χρείας λαβὼν τὸ αὔταρκες ἐκ τοῦ φαρμάκου καὶ μύρῳ ἀνέσας ναρδίνῳ ἐγχυμάτιζε. Πρὸς τὰ ἐν ὠσὶν ὑπερσαρκώματα. [10]

84bis πρὸς τὰ ὑπερσαρκοῦντα ἐν ὠσὶν ἕλκη Ἡρακλείδου Ταραντίνου. ἰοῦ < η λεπίδος χαλκοῦ < δ [ἢ ἐλλεβόρου μέλανος] μέλιτος κοτύλης c̈, τουτέστιν ℻ θ , τὰ ξηρὰ λειότατα τῷ μέλιτι ἀναλαβὼν ἕψε ὡς ἐρυθρὸν γενέσθαι καὶ ἀνελόμενος χρῶ ἐντιθεὶς κατὰ τοῦ ὑπερέχοντος τόπου. Ἄλλο. ἰοῦ < δ χαλκάνθου < δ πρασίου χυλοῦ κυάθους γ μέλιτος τὸ ἱκανὸν σκεύαζε καὶ χρῶ, ὡς εἴρηται. Ἄλλο Ἀπολλωνίου Μεμφίτου. καταστέλλει πᾶσαν ὑπερσάρκωσιν χωρὶς πόνου. στυπτηρίας σχιστῆς ℻ δ μίσυος κεκαυμένου ℻ δ ἰοῦ ℻ β Λημνίας σφραγῖδος ℻ β κόμμεως ℻ β ὄξει λείου καὶ ἀνάπλασσε τροχίσκους καὶ χρῶ σὺν ὕδατι ἢ οἴνῳ. καταστέλλει καὶ ἐπουλοῖ· ποιεῖ καὶ πρὸς μυκτῆρας ἡλκωμένους ἐξ οἱασδήποτε αἰτίας. Πρὸς σκώληκας ἐν ὠσί. [10]

85 σκώληκας ἐν ὠσὶν ἢ γεννηθέντας ἢ ἔξωθεν ἐμπεσόντας ἀποκτείνει τὰ πικρὰ καὶ τὰ δριμέα καθόλου, οἷον καππάρεως φύλλων χυλὸς κεδρία οὖρον ἀνθρώπειον παλαιόν, σὺν μέλιτι ἕκαστον ἢ ἀριστολοχίαν λείαν ἐμφύσα ἢ καλαμίνθης χυλὸν ἔγχεε ἢ ἐλλέβορον λευκὸν ἢ κολοκυνθίδος ἀφέψημα ἢ κενταυρίου ἢ ἀψινθίου ἢ πολίου μετ’ οἴνου ἢ σκορδίου ἢ πράσου ἢ ἐλατήριον μετὰ ὄξους. ποιεῖ δὲ καὶ μαλάχης ἡμέρου καὶ ἀγρίας ὁ χυλός, μάλιστα ἐπὶ τῶν φλεγμαινόντων. Πρὸς τὰς ἐκ τῶν ὤτων αἱμορραγίας. [5]

86 πρὸς δὲ τὰς ἐκ τῶν ὤτων αἱμορραγίας, ὥστε μὴ θρομβοῦσθαι τὸ αἷμα, πράσου 〈τὸν〉 χυλὸν καὶ ὄξος μίξας ἐγχυμάτιζε (καὶ τὸ αἷμα στέλλει καὶ τοὺς θρόμβους διαλύει), ἢ ῥόαν ἐν ὄξει ἑψήσας ἐγχυμάτιζε ἢ κηκῖδας ἐν ὄξει ἑψήσας καὶ διηθήσας καὶ βάτου χυλὸν μίξας ἐγχυμάτιζε ἢ πολυγόνου χυλὸν σὺν ὄξει βραχεῖ ἢ ἀκακίαν ἢ ἀμόργην ἢ λύκιον καὶ μάλιστα μετ’ ὄξους. Ψηφῖδος δὲ ἐμπεσούσης ἐν πόρῳ τοῦ ὠτὸς ἢ κυάμου ἤ τινος παραπλησίου ἔγκλυζε ἢ μηλωτρίδι περιελίξας ἔριον καὶ ἐμβάψας ῥητίνῃ ἀνάσπα ἢ διά τινος τῶν ἐχεκόλλων φαρμάκων ἢ δρωπάκων. [5]

87 μὴ ὑπακούσαντος δέ, πταρμικὸν ταῖς ῥισὶν ἐντιθεὶς ἔμφραττε τὸ στόμα καὶ τὰς ῥῖνας. κατὰ γὰρ τὴν γιγνομένην ἔντασιν τοῦ πνεύματος ἐκφυσᾶται τὸ ἐμπεσόν. ποίει δὲ συνεχῶς μέχρις ἂν ἐκπέσῃ· εἰ γὰρ ἐμμείνῃ ἐπιφλεγμαῖνον τὸ οὖς, σπασμοὺς ἐπιφέρει. κάλλιστα δὲ συνεργεῖ εἰς τὴν τῶν ἐμπεσόντων καταβολὴν καὶ ὁ κατασεισμός. εἰ μὲν παιδίον εἴη, τῷ ποδὶ κατεχόμενον καὶ ἐπὶ κεφαλὴν αἰωρούμενον μετὰ κατασεισμοῦ, εἰ δὲ τέλειος εἴη ὁ πάσχων, κατακλίνας αὐτὸν ἐπὶ σανίδι κατὰ τὸ πάσχον οὖς καὶ κελεύων ἐρείδειν τὴν κεφαλὴν τῇ σανίδι, ἔπειτα κουφίζων τὸ πρὸς τὴν κεφαλὴν μέρος τῆς σανίδος ἐξάφιε καὶ τοῦτο ποίει πλειστάκις. κινηθήσεται γὰρ τὸ ἐμπεσὸν καὶ προβιβασθήσεται περὶ τὰ προχειρότατα μέρη τοῦ πόρου, μετὰ δὲ ταῦτα κυαθίσκῳ σμικρῷ στενῷ μηλωτρίδος ἀνάσπα εὐφυῶς· εἰ δὲ καὶ κύαμος ἐμπεσὼν ἤ τι ἕτερον παραπλήσιον καὶ ἐμμεῖνον καὶ διάβροχον γενόμενον καὶ ἐξοιδῆσαν ὀδύνας ἐπιφέρει, ὁλόκληρον μὲν αὐτὸ ἐξελεῖν ἀδύνατον, χρὴ δὲ τῷ κυαθίσκῳ τῆς μηλωτρίδος εὐφυῶς αὐτὸ διαμερίζειν καὶ οὕτως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατὰ βραχὺ ἐκφέρειν, ἔπειτα ἕψημα ἢ γλυκὺν οἶνον θερμὸν ἐγχεῖν καὶ παρηγορεῖν τὸν πόρον διὰ τὸν γιγνόμενον σπαραγμόν. Πρὸς τὰ τῶν ὤτων ἔξωθεν τοῦ πόρου πάθη.

88 τὰ φλεγμαίνοντα τρήματα τῶν λοβῶν τοῦ ὠτὸς ἐπὶ παιδίων ἐλαίῳ ἐν χαλκῷ λύχνῳ ἰωθέντι συνεχῶς κατάχριε καὶ ὑγιάσεις. πρὸς δὲ τὰ τεθλασμένα τῶν ὤτων σμύρναν μάννην λίβανον γῆν μέλαιναν ᾗ σμῶνταί τινες, σὺν ὄξει ἑνώσας καὶ ποιήσας κηρωτῆς πάχος κατάπλασσε καὶ μὴ αὐτὰ ἐρέθιζε μηδαμῶς. Ἄλλο. θεῖον ἄπυρον σμύρναν λίβανον μετὰ πίσσης ὑγρᾶς 〈εἰς〉 σπληνίον ἐπιτίθει. Ἄλλο. ἀσφάλτου ἀλόης λιβάνου κοχλιῶν τῆς σαρκὸς βολβῶν ἀφρῶν ἴσα ὄξει συλλεάνας, ἔμπλασσε ὡς κηρωτὴν ἢ τοῖς αἰδοιικοῖς τροχίσκους κατάχριε. [Φιλαγρίου πρὸς τεθλασμένα ὦτα. μάνναν λίβανον ἢ αὐτὸν τὸν λίβανον καὶ ἀλόην μετ' οἴνου λειώσας καὶ ῥοδίνου ἐπιτίθει. πρόσπλεξον δὲ αὐτοῖς, εἰ εὕρῃς, καὶ κοχλίας τοὺς μικροὺς ὅλους λειώσας. φλεγμονῆς δὲ οὔσης μάνναν οἴνῳ καὶ ἐλαίῳ μίξας θεράπευε, ὕστερον δὲ τοῖς καταλλήλοις τῷ κλύσματι χρήσῃ.] Ἄλλο. γῆς ἔντερα λεάνας σὺν ὀλίγῃ γῇ, ἐξ ἧς ἐλήφθησαν, ἐπίχριε. ἐφ' ὧν δὲ κέκλασται τὰ ὦτα, πληρώσας ἔσωθεν τὴν κοιλότητα τὴν προχειροτέραν τοῦ χόνδρου γῇ τῇ κεραμικῇ [πηλῷ] καὶ ἐάσας ξηρανθῆναι ἐπίχριε στρύχνῳ μετὰ ψιμμυθίου μέχρι καταστῇ. εἰ δὲ φλεγμονὴ ἐπιγένοιτο τῇ θλάσει, τῷ πόρῳ ἔνσταζε βούτυρον χλιαρὸν ἢ στέαρ χήνειον ἢ ὀρνίθειον ἢ ὠκίμου χυλὸν μετά τινος τῶν ῥηθέντων στεάτων. ἔξωθεν δὲ περίχριε ψιμμύθιον μετὰ στρύχνου ἢ πολυγόνου ἢ κορίου χυλὸν ἢ ῥόας γλυκείας σίδια ἐν οἴνῳ ἑψήσας καὶ λεάνας κατάχριε ἢ γλαυκίῳ χρῶ· ἐμπλάστρῳ δὲ χρῶ τούτῳ· σάνδυκος λι α ἐλαίου λι α ὕδατος 𐅻 ς ἕψε ἅμα μέχρι ἀμολύντου καὶ χρῶ. Περὶ παρωτίδων.

89 αἱ παρωτίδες ἐν τῷ γένει μέν εἰσι τῶν φλεγμονῶν. γίγνονται δὲ τῶν περὶ τὰ ὦτα ἀδένων πασχόντων. οὐ μὴν χρώμεθά γε ἐπ' αὐτῶν, ὥσπερ ἐπὶ τῶν ἄλλων μορίων φλεγμαινόντων, ἐν ἀρχῇ τοῖς ἀποκρουστικοῖς, τοὐναντίον δὲ τοῖς ἑλκτικοῖς χρώμεθα, σπεύδοντες τὸν λυποῦντα χυμὸν ἐκ τοῦ βάθους ἐπισπᾶσθαι πρὸς τὸ δέρμα καὶ συνεργεῖν τῇ φύσει δι' ἀποστημάτων ἐνίοτε τοὺς πυρετοὺς ἰωμένῃ. ὅταν μέντοι σφοδρὰν ὁρμὴν ἔχοι τὸ ἐπιρρέον, οὐδὲν ἡμεῖς τηνικαῦτα προσπεριεργαζόμεθα τῇ φύσει τὸ πᾶν ἐπιτρέποντες. ἐὰν γὰρ ἤτοι σικύαν ἤ τι φάρμακον ἕλκον τοὺς χυμοὺς ἐκ τοῦ βάθους ἐπὶ τὸ δέρμα ἐπιθήσωμεν, ὀδύνη σφοδρὰ καταλαμβάνει τὸν ἄνθρωπον, ὡς δι' αὐτὴν ἀγρυπνίαν τε ἐπιγίγνεσθαι καὶ τοὺς πυρετοὺς ἐπιτείνεσθαι καὶ τὴν δύναμιν καταλύεσθαι. παρηγορεῖν οὖν τηνικαῦτα μᾶλλον προσήκει, οὐ συμπράττειν τῇ ῥοπῇ τῶν χυμῶν καταπλάσμασι χρωμένους παρηγορικωτάτοις , ὅσα πρὸς τῷ συμμέτρῳ τῆς ὑγρᾶς θερμότητος. ἐξ ἧς τὸ παρηγορεῖν ἔχει τὰς ὀδύνας, ἔτι καὶ πέττειν δύναται τοὺς ἐπιρρέοντας χυμοὺς καὶ διαπυίσκειν. ἐκπυηθέντας δὲ διαφορήσομεν· σκληρία δὲ εἰ φαίνοιτο μετ' ὀδύνης, μίξομεν τὰ μαλακτικὰ τοῖς ἑλκτικοῖς. ὀδύνης μὲν οὖν σφοδρᾶς ἐπικρατούσης καὶ τῶν χυμῶν ἔτι ἐπιρρεόντων, βουτύρῳ χρησόμεθα ἀλείφοντες τὸν τόπον συνεχῶς ἢ στέατι ὑείῳ ἢ τήξαντες βούτυρον καὶ τὸ στέαρ ἅμα καὶ κηρὸν βραχὺν ἐμβάλλοντες, ὡς γενέσθαι κηρωτὴν μαλακωτέραν, ἐπιθήσομεν. τὰς δὲ μετρίας παρωτίδας, ἐφ' ὧν μήτε πλῆθός ἐστι τὸ ἐπιρρέον μήτε ὀδύνη σφοδρὰ παρείη, μήτ' ἐκπυήσεως προσδοκία, ῥᾳδίως ἰασόμεθα πυρίαις δι' ἅλμης καὶ καταπλάσμασι καὶ φαρμάκοις διαφορητικωτέροις, οἷά ἐστιν ἥ τε Μνασέου καὶ ἡ διὰ χυλοῦ, καὶ τούτων μᾶλλον αἱ μαλακώτεραι καὶ κηρωτοειδεῖς αἱ διὰ βουτύρου καὶ ὑσσώπου, προσλαμβάνουσαι ὀστρέων κεκαυμένων ἢ κηρύκων ἢ πορφυρῶν, οἵα ἐστὶν αὕτη· στέατος χοιρείου παλαιοῦ ἀνάλου 𐅻 ς βουτύρου 𐅻 α κηροῦ 𐅻 β c ὀστρέων κεκαυμένων λειοτάτων 𐅻 β , τήξας τὰ τηκτὰ ἐπίπασσε τὰ ὄστρεα καὶ ἑνώσας χρῶ θαρρῶν ὡς ἐναργεστάτῳ. Ἄλλο φάρμακον πάνυ καλόν. ἀποχύματος 𐅻 ις πίσσης 𐅻 η κηροῦ 𐅻 γ Κολοφωνίας 𐅻 β στέατος μοσχείου 𐅻 α c ἀσφάλτου 𐅻 β τῆκε τὰ λοιπὰ καὶ διήθει. τὴν δὲ ἄσφαλτον λεάνας μετ' ὀλίγου ὄξους ἐπίχεε αὐτῇ τὰ τηκτὰ καὶ ἀναμαλάξας χρῶ. καὶ μὴν κἀπὶ τῶν ἤδη σκιρρουμένων καὶ χρονιζουσῶν παρωτίδων οἱ κεκαυμένοι κήρυκες καὶ τὰ ὄστρεα πάντα σὺν παλαιῷ στέατι χοιρείῳ τετηκότι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μιγέντα, ὡς προείρηται, ἀλυπότατα διαφορεῖ καὶ πάσας τὰς χρονιζούσας καὶ σκληρυνομένας φλεγμονάς. διὸ χρηστέον ἐπὶ τῶν σκληροτέρων παρωτίδων καὶ τῇ διὰ κηρύκων λευκῇ ἐμπλάστρῳ τῇ Ἀριοβαρζανίῳ λεγομένῃ καὶ τῇ διὰ μίσυος Διονυσίᾳ καλουμένῃ. ἀναγραφήσονται δὲ ἐν τῷ περὶ ἐμπλάστρων λόγῳ. ἐγὼ δὲ εἴωθα τὰς παρωτίδας τῶν παίδων καὶ τῶν γυναικῶν τῷ βουτύρῳ μόνῳ ἰᾶσθαι. Περὶ τῶν ἐν τῇ ῥινὶ παθῶν. [40]

90 ἐκ μὲν τοῦ γένους τῶν παρὰ φύσιν ὄγκων οἱ πολύποδες ἐν ταῖς ῥισὶν γεννῶνται, κατὰ δὲ τῶν ἑλκώσεων αἱ ὄζαιναι καὶ κατὰ τῶν παρὰ φύσιν ἐκκρίσεων αἱ αἱμορραγίαι. ἡ μὲν οὖν ὄζαινα ἐξ ἐπιρροῆς ὑγρῶν δριμέων καὶ σηπεδονωδῶν γίγνεται, ὡς ἐάν γε μόνον ᾖ δριμέα, δυσίατα μὲν ἕλκη ποιεῖν πέφυκεν, οὐ μὴν ὄζοντά γε μοχθηρόν. ὁ δὲ πολύπους λεγόμενος ἐοικὼς κατὰ τὴν τῆς οὐσίας ἰδιότητα τῇ χρόᾳ καὶ τῇ συστάσει τῇ τοῦ πολύποδος τοῦ θαλαττίου σαρκί, ἐκ παχέων καὶ γλίσχρων χυμῶν ἔχει τὴν γένεσιν. ἡ δὲ θεραπεία κοινὴ μὲν ἀμφοῖν τῶν τε ὀζαινῶν καὶ τοῦ πολύποδος· δεῖ πρότερον ξηρᾶναι καὶ ῥῶσαι τὴν κεφαλήν· εὔδηλον γὰρ ὅτι διὰ περιουσίαν ὑγρῶν μοχθηρῶν ἐπιρρεῖ 〈τι〉 ταῖς ῥισὶν ἐξ αὐτῆς. ὅπως δὲ ῥωννύναι τὴν κεφαλὴν χρή, ἤδη προείρηται ἐν τῷ περὶ κεφαλαλγίας τόπῳ, σμηγμάτων διαφόρων συνθέσεις ἀναγράψαντες καὶ ἐπιθεμάτων κατὰ τοῦ βρέγματος ἢ καὶ ὅλης τῆς κεφαλῆς προεξυρησμένης ἐπιτιθεμένων. πρὸς δὲ τοῖς ἤδη προγεγραμμένοις ἄριστα ποιεῖ ἐπ’ αὐτῶν καὶ ἡ δι’ ἀνεμώνης κατὰ τῆς κεφαλῆς ἐπιτιθεμένη καὶ αὕτη δέ· σμύρνης 𐆄 α λιβάνου 𐆄 α κοχλίους ὁλοκλήρους ε , ᾠῶν τὰ λευκὰ β ὁλμοκοπήσας καὶ μίξας ἅπαντα κατάχριε τὴν κεφαλήν, ἐπιτιθεὶς ἄνωθεν ὀθόνην καὶ ἐῶν ἡμέρας θ καὶ οὕτως ὕστερον χρώμενος τοῖς τοπικοῖς βοηθήμασιν. Ὀζαινῶν θεραπεία. [20]

91 ὅταν τοίνυν διὰ τῶν προειρημένων παρασκευάσῃς ἐρρωμένην τὴν κεφαλήν, ἐπὶ τὴν τῆς ῥινὸς ἀφίξῃ θεραπείαν σκοπὸν ἔχων ἐν ταῖς ὀζαίναις ξηρᾶναι τὸ πεπονθὸς μόριον διὰ φαρμάκων μικτὴν ἐχόντων δύναμιν, ἀποκρουομένων τε καὶ διαφορούντων. ἀποκρούεται μὲν οὖν δηλονότι τά τε αὐστηρὰ καὶ τὰ στρυφνὰ καὶ τὰ στύφοντα προσαγορευόμενα, διαφορεῖ δὲ τὰ θερμὰ καὶ ξηρὰ ταῖς δυνάμεσιν. Ἀρχιγένης δὲ πρὸς τὰς ἐν ῥισὶν ὀζαίνας τοιαῦτα γράφει· καλαμίνθης χυλὸν ἐγχυμάτιζε ἢ αὐτὴν ξηρὰν λείαν ἐμφύσα διὰ καλάμου ἢ εὐζώμου χυλὸν ἐγχυμάτιζε συνεχῶς ἢ μέλι ἐνστάξας εἰς τὴν ῥῖνα καὶ διαστήσας πταρμῷ τὰς ἐφελκίδας ἐκτίναξον, εἶτα ἐλλέβορον λευκὸν μετὰ καρδαμώμου σπέρματος ἀνασπᾶν τῇ ῥινὶ ποίει ὡς πλεῖστον καὶ μετὰ τοῦτο διάχριε ἀμόργῃ μετὰ μέλιτος ἢ βατραχίου χυλὸν μετὰ στυπτηρίας ὑγρᾶς ἐγχυμάτιζε εἰς τὴν ῥῖνα καὶ κέλευε ἀνασπᾶν καὶ τοῦτο ποίει ἕως ἀποθεραπεύσεις. εἰ δὲ παλαιὸν ᾖ τὸ πάθος, καὶ ὄξος δριμύτατον πρόσμιγε, διάχριε δὲ τοὺς πόρους τῆς ῥινὸς τούτῳ· ναρδόσταχυ καὶ μίσυ ἴσα λεάνας μετ’ οἴνου αὐστηροῦ γλοιοῦ πάχος ποιήσας διάχριε καὶ ἐρίῳ ἔμφραττε. κάλλιστα δὲ ποιεῖ πρὸς ὀζαίνας καὶ χάλκανθος ἀναλαμβανομένη μέλιτι ἑφθῷ καὶ χαλκίτης ὁμοίως καὶ ἰὸς καὶ λεπὶς χαλκοῦ καὶ τὸ ἀνθηρὸν στοματιχὸν καὶ τοῦτο· χαλκίτεως ὠμῆς < ις καδμίας < η λείου μετ’ ὄξους ἐν τοῖς ὑπὸ κύνα καύμασιν ἐπὶ πολλὰς ἡμέρας. καὶ ξηράνας χρῶ μετ’ οἴνου ἀνέσας ἢ αὐτὸ ξηρὸν ἐμφύσα. Ἄλλο πρὸς ὀζαίνας. μίσυος χαλκίτεως σμύρνης ἀνὰ < ζ χαλκάνθου < ς στυπτηρίας σχιστῆς κηκῖδος λεπίδος 〈χαλκοῦ〉 ἀνὰ < δ στυπτηρίας στρογγύλης < β λιβάνου < α ὄξους λι α . ἕψε πάντα ἅμα λεῖα ἐν χαλκῷ σκεύει καὶ ὅταν μελιτώδη σύστασιν λάβῃ ἀνελόμενος χρῶ, ἐλλύχνιον βάπτων καὶ ἐντιθεὶς ταῖς ῥισὶν ἐσωτάτω. Ξηρίον πρὸς ὀζαίνας. ἐρείκης καρποῦ σμύρνης νίτρου σιδίων ἀνὰ < δ κρόκου κόστου < β λείοις ἐμφύσα. Ἄλλο. στυπτηρίας σχιστῆς σμύρνης ἀνὰ < δ σανδαράκης ῥοῦ μαγειρικοῦ ἁλῶν ἀμμωνιακῶν κρόκου κόστου ἀνὰ < β λείοις ἐμφύσα, οἰνομέλιτι προσεγκλύζων τοὺς μυκτῆρας. Ἄλλο Θεοδώρου πρὸς δυσωδίαν μυκτήρων. ἀμώμου σμύρνης ῥόδων ξηρῶν 〈ἴσα〉 λεάνας καὶ μετὰ ναρδίνου μύρου ἀνέσας χρῶ. Ἄλλο. σμύρνης κασσίας ῥόδων ἑκάστου ἴσον κόψας σήσας φυράσας μέλιτι διάχριε πρωῒ καὶ δείλης, ἕως ἀπαλλαγῇ. Ἄλλο. ἡδύχροον μετ’

οἰνομέλιτος λεάνας χρῶ. Ἄλλο τερπνὸν καλούμενον. σμύρνης < δ κασσίας < δ σχοίνου ἄνθος < α ῥόδων ξηρῶν < α λεάνας σὺν οἰνομέλιτι παλαιῷ ἀπόθου καὶ χρῶ διαχρίων μυκτῆρας. Ἄλλο πρὸς ὀζαίνας, ᾧ συνεχῶς χρῶμαι. τῇ σκευασίᾳ τοῦ Μούσα τροχίσκου πρόσβαλλε χαλκίτεως < ϛ , ἐνίοτε δὲ καὶ < ιβ , ἐλλεβόρου λευκοῦ < β καὶ χρῶ σὺν οἰνομέλιτι. Ἄλλο δόκιμον. ζιγγιβέρεως < γ χαλκίτεως < δ κασσίας < γ ναρδοστάχυος < β μίσυος < β ἐλλεβόρου λευκοῦ < α , χρῶ ξηρῷ καὶ μετὰ οἰνομέλιτος. Ἄλλο καλόν. μίσυος ὀπτοῦ < η ἴρεως < δ κρόκου < α μέλιτι ἀναλαβὼν διάχριε. Ἄλλο. σχιστῆς ℥ α σμύρνης ℥ α λιβάνου ℥ δ μουσκιλίου βοτάνης τῆς δορκαδιάδος καλουμένης < δ ἰοῦ < β ἁλῶν ἀμμωνιακῶν Γρ δ τερεβινθίνης ℥ α μέλιτος ℥ δ ὄξους τὸ ἀρκοῦν. Ἄλλο ποιεῖ καὶ πρὸς πολύποδας. χαλκοῦ κεκαυμένου λεπίδος σιδήρου στομώματος στυπτηρίας σχιστῆς σμύρνης λιβάνου ἀριστολοχίας περιστερεῶνος ὀρθοῦ λεπίδος χαλκοῦ ἰοῦ ἴσα χρῶ, ποτὲ μὲν ἀνεὼν οἴνῳ καὶ δι’ ἐλλυχνίου ἐντιθείς, ποτὲ τῇ διὰ μόρων, ποτὲ μέλιτι, ποτὲ δὲ ξηρὸν ἐμφυσῶν, ὕδατος πληρῶν τὸ στόμα.

91 (50) Πρὸς ὀζαίνας· μὴ καταφρονήσῃς τῆς εὐτελείας. κενταυρίου λεπτοῦ κεκαυμένου πολίου κεκαυμένου χαμαιμήλου κεκαυμένου ἀνὰ < η ἰοῦ λεπίδος χαλκοῦ κυκλαμίνου ῥίζης ξηρᾶς σμύρνης ἀλόης σιδίων ἀνὰ < δ · λείοις χρῶ, ὡς βούλει. Ἄλλο πρὸς ὀζαίνας καὶ ἀναβρώσεις καὶ νομὰς καὶ παχύσματα καὶ ὅσα περὶ μυκτῆρας. ἀμπέλου λευκῆς φύλλων χυλὸν ℥ γ μάννης χαλκάνθου λιβάνου χαλκίτεως ἀριστολοχίας ἀνὰ < γ , λειοῖς καὶ ξηράνας χρῶ ἐμφυσῶν. Τροχίσκος πρὸς ὀζαίνας Κύρου ἀρχιήτρου Ἐδέσσης. καδμίας τρὶς κεκαυμένης καὶ οἴνῳ σβεσθείσης, μολυβδαίνης μολύβδου κεκαυμένου λιθαργύρου ναρδοστάχυος λιβάνου κυπαρίσσου φύλλων βράθυος κηκίδων λυκίου Ἰνδικοῦ κόμμεως ἀνὰ < δ ψιμμυθίου γλαυκίου μίλτου φύλλου βαλαυστίων σχοίνου ἄνθους σιδίων ἀλόης ἀκακίας ἀνὰ Γρ η ῥοῶν φύλλων ῥόδων ἄνθους ἀνὰ Γρ ϛ , κόψας σήσας λειώσας ὄξει ἀναλάμβανε τροχίσκους καὶ χρῶ μετ’ οἴνου ἢ ἑψήματος. Πρὸς ὀζαίνας. κυπέρων ℥ γ σανδαράκης σχιστῆς σμύρνης κρόκου ἀνὰ ℥ α ἐμφύσα ξηρόν. Ἀπολλωνίου πρὸς πολύποδας. ἐλλέβορον καὶ ὀρίγανον λεῖα ἐμφύσα ἴσα. Ἄλλο. ἐλλέβορον μέλανα καὶ σανδαράκην ἴσα λεάνας μετ’ ἐλαίου ἀναλαβὼν ἐρίῳ πλήρωσον τὸν μυκτῆρα. Ἄλλο. χαλκοῦ ἄνθος καὶ ἰὸν καὶ λάσαρ ἴσα τρίψας μετὰ ἐλαίου ἐπάλειφε διὰ μήλης ἔριον ἐχούσης τοὺς μυκτῆρας ἐπὶ ἡμέρας ε , εἶτα λαβιδίῳ ἕλκε καὶ ἐξαίρει. Ἄλλο. ἀρσενικὸν τρίψας μήλῃ παράπτου δαψιλῶς· ἐπειδὰν δὲ ἐξοιδήσῃ καὶ ἐπαρθῇ καὶ φυσηθῇ, ἐλλεβόρῳ μέλανι ξηρῷ λείῳ συμμέτρῳ χρῶ. ἐν ἡμέραις γὰρ ζ ταῖς πλείσταις κενὸς ὁ μυκτὴρ γίνεται, εἶτα ἀποκάθαρε διφρυγεῖ λείῳ μετὰ μέλιτος. ἢ ἀρσενικὸν καὶ τίτανον καὶ ἐλλέβορον λευκὸν λεάνας μήλῃ προσάπτου. Πολυπόδων θεραπεία.

92 ἤδη προείρηται ὡς ἐκ παχέων καὶ γλίσχρων ὑγρῶν τὴν γένεσιν ὁ πολύπους ἔχει· καὶ διὰ τοῦτο μικτῆς ὕλης δεόμενος, στυφούσης καὶ τεμνούσης καὶ διαφορούσης καὶ ξηραινούσης, ὧν ἡ ὕλη τοιαύτη. Ξηρίον πρὸς πολύποδας καὶ ὀζαίνας. στυπτηρίας σχιστῆς σμύρνης σανδαράκης ἀνὰ < δ χαλκοῦ κεκαυμένου < α κηκίδων < α , λείοις χρῶ, πρότερον ἐγκλύζων τοὺς μυκτῆρας οἴνῳ εὐώδει καὶ τότε διάχριε πυρῆνι μήλης· χρῶ δὲ καὶ τοῖς προγεγραμμένοις πρὸς ὀζαίνας. Ἄλλο πρὸς πολύποδας. σώρεως < β χαλκίτεως ὀπτῆς < β μυρίκης καρποῦ < α κρόκου < α σμύρνης < α , λείοις χρῶ ἐμφυσῶν, ὡς προείρηται. Ἄλλο. χαλκίτεως ὀπτῆς μίσυος χαλκάνθου ὀπτῆς ἀμώμου ἀνὰ < α σμύρνης < δ κρόκου < α , λείοις χρῶ ξηρῷ. Ἄλλο πάνυ θαυμαστόν. σώρεως ℥ γ στυπτηρίας σχιστῆς ℥ γ κηκίδων ℥ β σμύρνης ℥ β , ξηρῷ χρῶ. Ἄλλο πρὸς πολύποδας ὀζαίνας αἰγίλωπας καὶ ὅσα βούλει χωρὶς τομῆς καὶ καύσεως ἀπαλλάττειν. ἀφίστησι δὲ καὶ ὀστᾶ διεφθορότα. χαλκοῦ ἐρυθροῦ ῥινίσματος ℥ α ἁλὸς ἀμμωνιακοῦ < β στυπτηρίας στρογγύλης ℥ β ὄξους δριμυτάτου κοτύλας ϛ , τὰ ξηρὰ λειώσας καὶ ἐπιβαλὼν τὸ ὄξος ἀναλάμβανε εἰς ἄγγος ἐρυθροῦ χαλκοῦ καὶ τίθει ἐν ἡλίῳ κινῶν κερκίδι χαλκῇ ἐν τοῖς ὑπὸ κύνα καύμασιν, ἕως ξηρανθῇ, εἶτα λεάνας ἀνελοῦ εἰς ἄγγος κεραμεοῦν. ἐπὶ δὲ τῆς χρήσεως δίδου ὕδωρ ἐν τῷ

στόματι κρατεῖν καὶ ἐμφύσα ταῖς ῥισὶ διὰ καλάμου. Ἄλλο πρὸς πολύποδας καὶ ὀζαίνας. σίνηπι λεάνας καὶ φυράσας ὕδατι καὶ ποιήσας βαλανοειδές, ἔπειτα λαβὼν ῥάκος ἰσχνὸν περίπλασον τὸ ῥάκος κατὰ κύκλον τῷ νάπυϊ πρὸς τὸ ἀποσπάσαι αὐτὸ ὅτε βούλει καὶ ἐντίθει τῷ μυκτῆρι καταλιπὼν ἔξωθεν τὴν ἀρχὴν τοῦ ῥάκους καὶ ἔα ὅλην τὴν ἡμέραν καὶ ἐκπεσεῖται ὁ πόλυψ. Ἄλλο πρὸς πολύποδας καὶ ὀζαίνας καὶ ὑπερσαρκώματα ἐν ῥισίν. σχιστῆς στυπτηρίας Γρ θ στυπτηρίας στρογγύλης Γρ ς χαλκάνθου Γρ γ χαλκίτεως Γρ ιη μίσυος Γρ ιη σμύρνης Γρ ιη λεπίδος χαλκοῦ ꟼ θ λιβάνου Γρ γ κηκῖδος Γρ ιβ , κόψας σήσας λείου μετ᾽ ὄξους, ὡς κολλύριον, καὶ ἀνάπλαττε τροχίσκους. ἐπὶ δὲ τῆς χρείας λεάνας ὅσον ἐξαρκεῖ σὺν μέλιτι καὶ ἐλλύχνιον ποιήσας καὶ βάπτων τῷ φαρμάκῳ, ἐντίθει τοῖς μυκτῆρσι καὶ ἔα ἡμέραν μίαν· τῇ δὲ ἑξῆς ἕλκε καὶ ἀκολουθήσει ὁ πόλυψ ὡς ἐπίπαν· εἰ δὲ ἐμμείνῃ, χρῶ ὁμοίως. Πρὸς πολύποδας καὶ σαρκώματα. λεπίδος 〈σιδήρου〉 < η σανδαράκης < δ χαλκοῦ < ς ἐλλεβόρου μέλανος < β ἐμφύσα ξηρόν· χρῶ ὡς καλλίστῳ· ἐν μὲν γὰρ ἡμέραις δέκα ὠφέλειαν ἔκδηλον ποιεῖ. Νεχεψὼ βασιλέως πρὸς σαρκώματα ἐν μυκτῆρσι. λεπίδα σιδήρου καὶ λεπίδα χαλκοῦ καὶ στυπτηρίαν σχιστὴν ἴσα λεάνας ἐμφύσα ἢ τῇ μήλῃ παράπτου καὶ ἐλλυχνίῳ χρῶ. Ἀσκληπιάδου πρὸς πολύποδας. χαλκάνθου κεκαυμένου < α διφρυγοῦς < β ἀσβέστου < β σανδαράκης < β ξηροῖς παράπτου ἢ στρεπτὸν προβρέχων ὕδατι καὶ μολύνων τῷ φαρμάκῳ ἐντίθει. Ἄλλο, ᾧ Ἀντίπατρος ἐχρήσατο. [χαλκάνθου σανδαράκης ἴσα λεάνας ἐμφύσα καὶ διὰ μήλης παράπτου.] χαλκάνθου κεκαυμένου < α μίλτου Σινωπικῆς < α λείοις ἐμφύσα καὶ διὰ μήλης παράπτου. Φυσικὸν πρὸς πολύποδα Ἀπολλωνίου. νυκτικόρακα σφάξας περίχριε θερμῷ τῷ αἵματι τὸν πολύπουν. τὸ δὲ λοιπὸν ξήραινε ἐν ἡλίῳ καὶ ἀπόθου καὶ ἐπίπασσε ξηρὸν λεῖον. Ἄλλο τοῦ αὐτοῦ πρὸς τοὺς ἡλκωμένους πόλυπας καὶ ὀζαίνας. κυνεία κόπρος λευκὴ ὄξει λειωθεῖσα καὶ διαχριομένη ποιεῖ ἄκρως. Ἄλλο ἐξεσθίει τοὺς ἡλκωμένους τόπους καὶ πόλυπας. [45]

92 (50) δρακοντίου ῥίζα λεία ἐπιπασσομένη ἢ ὁ χυλὸς αὐτῆς διαχριόμενος ἢ κυπαρίσσου σφαιρία ἀναληφθέντα σύκου σαρκὶ καὶ ἐντεθέντα, ποιεῖ καὶ ἐλελίσφακος καταπλασσομένη καὶ λάσαρ μετὰ χαλκάνθου ἴσου ἢ ἰοῦ. ἐγὼ δὲ Γαληνὸς ἐπὶ τῶν ἐν ῥισὶ πολύπων τε καὶ ὀζαινῶν εὗρον εὐδοκιμοῦντα τὰ ὑπογεγραμμένα. πρῶτον μὲν τὸ διὰ τῶν ῥοιῶν· ἔστωσαν δὲ ἴσαι τὸν ἀριθμὸν καὶ τὸ μέγεθος ἐκ τῶν τριῶν διαφορῶν λαμβανόμεναι, αὐστηρῶν καὶ γλυκέων καὶ ὀξέων. κόπτειν δὲ αὐτὰς προσφάτους πεπείρους χρὴ καὶ συνθλᾶν ὅλας ἀκριβῶς, ὥστε ἐκθλιβῆναι δύνασθαι τὸν ἐξ αὐτῶν χυλόν. εἶτα ἐπ᾽ ὀλίγον αὐτὸν ἑψήσαντες ἀποθώμεθα ἐν κασσιτερίνῳ ἀγγείῳ· τὸ δὲ ὑπολιμπανόμενον στερεὸν καὶ παχὺ κόπτε ἀκριβῶς ἐν ὅλμῳ καὶ λείοι εὖ μάλα ἐν θυίᾳ καὶ ἀνάπλαττε κολλύρια εὐμήκη διάφορα τῷ πάχει καὶ τῷ μήκει καὶ ξήραινε· καὶ ἐπὶ τῆς χρείας ἐντίθει ἁρμόδιον ἐξ αὐτῶν κολλύριον εἰς τὸν πόρον τῆς ῥινός, ἐν ᾧ ὁ πολύπους ἐστίν· ἄνευ γὰρ δήξεως καὶ συμπαθείας 〈ταὐτὸν ἐργάζεται τοῖς δριμέσι φαρμάκοις〉 , καθελεῖν τὸν πολύποδα, 〈ἀλλ᾽ ἐν〉 χρόνῳ πλείονι. ἐὰν δ᾽ ὑγρότερος καὶ μαλακώτερος ὁ πολύπους σοι φαίνηται, πλέον ἐμβαλεῖς τῶν αὐστηρῶν ῥοιῶν, εἰ δὲ σκληρότερος, τῶν ὀξειῶν. ἐπεὶ δὲ δύσφορόν ἐστιν ἀνέχεσθαι διὰ παντὸς τοῦ κολλυρίου, προσήκει διαναπαύειν, χρώμενον, ἐν αἷς οὐκ ἐντίθης τὸ κολλύριον, τῷ ἐκτεθλιμμένῳ χυλῷ. καὶ μέντοι καὶ χαίνοντα μέγα καὶ τὸν ἔνδον τοῦ στόματος πεπονθότα διαχρίειν ἐξ αὐτοῦ κατ᾽ ἐκεῖνα τὰ μέρη, καθ᾽ ἃ συντέτρηται πρὸς τὸν οὐρανίσκον ἡ ῥὶς ἢ πτεροῖς ἢ ἐρίῳ περιβεβλημένῳ μηλωτρίδι. τῶν δὲ ξηρῶν φαρμάκων ἀδήκτως οἶδά ποτε τῷ διφρυγεῖ δαπανηθέντα τὸν πολύπουν. εὐδοκιμεῖ δὲ ἐπ᾽ αὐτῶν καὶ τὸ προειρημένον διὰ τῶν ῥοιῶν κολλύριον ξηρόν, λειότατον γενόμενον καὶ ἐμφυσώμενον ἢ διὰ πυρῆνος μήλης ἐντιθέμενον ταῖς ῥισίν. ἅπαντα δὲ ταῦτα συνεχῶς δεῖ ποιεῖν, ὡς μηδέποτε λείπειν τὸ φάρμακον τῷ πεπονθότι μορίῳ· ῥᾳδίως γὰρ ὑπὸ τῆς ἐπιρρεούσης ὑγρότητος ἐκκλύζεται. ἐπὶ δὲ εὐνούχων ἢ μαλακὸν σῶμα ἐχόντων καὶ διὰ τοῦτο μὴ φερόντων μηδεμίαν δῆξιν ῥόδα ξηρὰ λειότατα ποιήσας πρόσαγε. θαυμαστῶς γὰρ ὠφελεῖ τὰ μαλακὰ καὶ ὑγρὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σώματα. [τὰ γὰρ πλεῖστα τῶν δραστικῶν καθαίροντα τοὺς πολύπους παροξυντικά πως ἐστιν, ὅταν μὴ τύχῃ τοῦ σκοποῦ.] ἐπὶ δὲ πλουσίου τινὸς ἀξιοῦντος εὐῶδες εἶναι τὸ προσφερόμενον φάρμακον ἐπὶ τὴν τῆς ὀζαίνης θεραπείαν τῷ ἡδυχρόῳ τροχίσκῳ ἐχρησάμην δεύων αὐτὸν οἴνῳ παλαιῷ εὐώδει καὶ θαυμαστῶς ὅπως ἐν τάχει τὸ πάθος ἐθεραπεύθη. λέλεκται δὲ ἡ τούτου σκευασία κατὰ τὴν τῆς θηριακῆς γραφήν. Πρὸς τὰ ἐν μυκτῆρσιν ἕλκη. ἕλκη τὰ ἐν τοῖς πόροις τῆς ῥινὸς τὰ ἁπλούστερα ἀεὶ ἐθεράπευσα διὰ τῶν τροχίσκων, τοῦ τε Ἀνδρωνίου καὶ τοῦ Πασίωνος καὶ τοῦ Πολυείδους καὶ τοῦ Μούσα καὶ τοῦ Βιθυνοῦ, ποτὲ μὲν οἴνῳ γλυκεῖ λειῶν αὐτούς, ποτὲ δὲ αὐστηρῷ, ποτὲ δὲ δι’ ὄξους, ἀπὸ τῶν κατὰ τὰ πάθη συμπτωμάτων τῆς χρήσεως τῶν φαρμάκων εὑρισκομένης. Ἀρχιγένης δὲ λιπαραῖς ἐχρήσατο ἐπ’ αὐτῶν τοιαύταις· μολύβδου σκωρίαν λεάνας σὺν οἴνῳ παλαιῷ καὶ μυρσίνῳ ἑκάστου ἴσον ἕψε ἐν ὀστρακίνῳ ἀγγείῳ ἐπ’ ἀνθράκων κινῶν συνεχῶς καὶ ὅταν γλοιῶδες γένηται τὸ φάρμακον, ἀνελόμενος εἰς πυξίδα μολυβδίνην φύλαττε. Ὀριβασίου πρὸς τὰ ἐν μυκτῆρσιν ἕλκη ἁπλούστερα. [95]

93 λιθαργύρου ψιμμυθίου ἀνὰ < ς μολύβδου κεκαυμένου πεπέρεως σμύρνης ἀλόης ἀνὰ < β κηκίδων < α οἴνῳ καὶ μυρσίνῳ ἀνέσας χρῶ. ἔστι καὶ ἑδρικόν. Ὀριβασίου πρὸς ἕλκη μυκτήρων. χαλκάνθου < ζ σχιστῆς < ς κηκίδων < γ σιδίων < γ ὄξει ἢ οἴνῳ λείου. Ἄλλο πρὸς τὰ ἐν τοῖς πόροις τῆς ῥινὸς ἁπλούστερα ἕλκη. λιθαργύρου < ς ψιμμυθίου < η σιδίων < δ σχιστῆς < δ οἴνῳ λεάνας καὶ ἐπιβαλὼν μυρσίνου ἐλαίου φύλαττε ἐν μολυβδίνῳ ἀγγείῳ καὶ χρῶ. ἄριστα δὲ ποιεῖ ἐπ’ αὐτῶν τὰ τοῦ ἀστέρος κοκκία καὶ τὰ λιβιανὰ καὶ μάλιστα τὸ Κλέωνος καὶ τὰ παραπλήσια σὺν οἴνῳ καὶ μυρσίνῳ. Πρὸς τὰς ἐκ ῥινῶν αἱμορραγίας. [10]

94 τὰς ἐκ τῶν μυκτήρων αἱμορραγίας στέλλει κνίδης φύλλων χυλὸς διὰ ἐλλυχνίου ἐντιθέμενος καὶ αὐτὰ τὰ φύλλα λεῖα κατὰ τοῦ μετώπου καταπλαττόμενα. χαλκῖτις ξηρὰ λεία ἐλλυχνίῳ ἀναλαμβανομένη καὶ ἐντιθεμένη. δεῖ δὲ τὸ ἐλλύχνιον βάψαντα ψυχρῷ ὕδατι κυλίειν ἐν τῇ χαλκίτιδι. στέλλει καὶ λυσιμαχίου πόας ὁ χυλὸς καὶ ἀνθήλης κεκαυμένης καὶ νάρθηκος τὸ ἐριῶδες σὺν ὄξει ἐντιθέμενον, πήγανον λεῖον ἐντιθέμενον, λίβανος μετὰ πολυγόνου ἢ πράσου χυλοῦ, ὀνείας κόπρου προσφάτου χυλὸς μετὰ πράσου χυλοῦ καὶ ὄξους δι’ ἐλλυχνίου ἐντιθέμενος παραχρῆμα στέλλει ἢ τὴν κόπρον καύσας ἐμφύσα τὴν σποδὸν ἢ σπόγγον καινὸν πίσσῃ ὑγρᾷ βρέχων καῖε καὶ ἐντίθει τὴν σποδὸν ἢ ἱππούρεως χυλὸν ἢ αὐτὴν λείαν ἐντίθει καὶ κατάπλασσε τὸ μέτωπον ἢ ἐλελισφάκου φύλλα λεῖα πρόσαγε ἢ ὠῶν κελύφη καύσας καὶ λεάνας, τούτων μὲν ἔμβαλλε μέρη δύο, κηκῖδος ὀμφακίνης τὸ ἐντὸς μέρος α καὶ ἐλλυχνίῳ ὕδατι βεβρεγμένῳ ἢ ὄξει ἀναλαβὼν ἐντίθει. κατάπλασσε δὲ τὸ μέτωπον βολβοῖς λείοις σὺν πράσου χυλῷ ἢ ὄξει ἢ γύψον φυράσας ᾠοῦ τῷ λευκῷ κατάπλαττε τὸ μέτωπον καὶ τὴν ῥῖνα. μᾶλλον δὲ ποιεῖ τὸ διαφανὲς κεκαυμένον μετ’ ὄξους. Ἄλλο. κοχλίων σάρκας μετ’ ὄξους λεάνας χρῶ ἢ καύσας τοὺς κοχλίους σὺν τοῖς ὀστράκοις καὶ λεάνας κατάπλαττε τὸ μέτωπον καὶ τὴν ῥῖνα μετ’ ὄξους. Ἀπολλώνιος δέ φησι· κοχλίων σάρκας μετὰ λιβάνου τρίψας ἔμφραττε τοὺς μυκτῆρας καὶ στήσεται. τοῖς αὐτοῖς δὲ καὶ τὸ μέτωπον κατάπλαττε· καὶ τοῦ διὰ τῆς ἀνεμώνης ξηροῦ φαρμάκου ἐπιτίθει ἐμπλάσας κατὰ τοῦ μετώπου ἢ τῆς δι’ ἰτεῶν. ἄριστον δὲ τοῦτο, ᾧ πλειστάκις χρησάμενος ηὐδοκίμησα. λίθον μυλίτην πυρώσας σβέννυε ἐν ὄξει δριμυτάτῳ καὶ πρόσαγε ταῖς ῥισὶ τὴν ἀτμίδα καὶ στήσεται· εὔθετον δὲ καὶ ψύχειν σπόγγοις τὸ μέτωπον καὶ μετέωρα ποιεῖν τὰ περὶ τὴν κεφαλήν, ἀποδεσμεύειν δὲ καρποὺς καὶ βουβῶνας καὶ γόνατα. Ἀπολλώνιος δέ φησι· τοῦ κατὰ τὸν αἱμορραγοῦντα μυκτῆρα ποδὸς τὸν μέγαν δάκτυλον δῆσον καὶ παύσεις πολλὴν καὶ ἄσχετον αἵματος φοράν. καλὸν δὲ καὶ 〈ἐμ〉 φράττειν κηρῷ τὰ ὦτα κἀν τῷ στόματι διακατέχειν ὕδωρ ὄμβριον ψυχρὸν καὶ εἰς τὸ ἀντικείμενον οὖς ἐνστάζειν ὕδωρ ψυχρόν· εἰ δὲ ἐκ τῶν ἀμφοτέρων μυκτήρων φέροιτο τὸ αἷμα καὶ εἰς ἑκάτερα τὰ ὦτα ἔνσταζε τὸ ψυχρόν, καὶ σικύαν τῷ ἰνίῳ πρόσβαλλε μετὰ ἀφαιρέσεως. καὶ περὶ τὰ σπλάγχνα εὐμεγέθη σικύαν πρόσβαλλε, εἰ μὲν τὸ δεξιὸν μέρος εἴη τὸ αἱμορραγοῦν, τῷ ἥπατι· εἰ δὲ τὸ εὐώνυμον, τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σπληνί. ἔσθ’ ὅτε δὲ καὶ φλεβοτομεῖν ἀναγκαζόμεθα. ἄκρως δὲ ποιεῖ τοῦτο· ῥοδοιδαρίου καὶ ὤχρας ἴσον ἑκάστου ἀνεὶς μετ’ ὄξους ἔνσταζε εἰς τὸ ἀντικείμενον τῷ αἱμορραγοῦντι μυκτῆρι οὖς, λέγω δὴ εἰ μὲν ὁ δεξιὸς μυκτὴρ αἱμορραγοίη, τῷ ἀριστερῷ ὠτὶ ἔνσταζε, εἰ δὲ ὁ εὐώνυμος, τῷ δεξιῷ. πότιζε δὲ καὶ τοῖς πρὸς αἱμοπτοικοὺς ἀναγραφησομένοις. Αἷμα ἀπὸ μυκτήρων κατασπάσαι. [40]

95 ἡδύοσμον λειώσας καὶ ἀναλαβὼν μέλιτι κολλύριον ποιήσας ἐντίθει εἰς τοὺς μυκτῆρας. Ἄλλο. ἐρυθροδάνου ῥίζαν λειοτάτην φυράσας ἐν ἐλαίῳ ὑπόχριε τοὺς μυκτῆρας ἐσωτάτω. Ἄλλο. ἀγρώστεως ἄνθος ἤτοι τὸ ἄκρον τὸ τραχύτερον ἐντίθει τῷ μυκτῆρι καὶ περίστρεφε μέχρις αἱμορραγήσῃ. Περὶ ἐμφράξεως μυκτήρων καὶ ὀσφρήσεως βεβλαμμένης Γαληνοῦ. [5]

96 ὀφθαλμοῖς καὶ γλώττῃ καὶ τῷ παντὶ σώματι αἴσθησίν τε καὶ κίνησιν διὰ νεύρων χορηγεῖ ὁ ἐγκέφαλος. τὸ δὲ τῶν ὀσμῶν αἰσθητήριον ἔνδον ἐγένετο τοῦ κρανίου ἐν ταῖς τοῦ ἐγκεφάλου προσθίοις κοιλίαις ἀτμῶδές τι πνεῦμα ἐχούσαις. ἀναγκαῖον δέ ἐστιν ἐπίστασθαι πρότερον, ὅπως κατεσκεύασται ἡ ῥὶς καὶ τίνα συνεχῆ τοῖς πόροις αὐτῆς ἐστι σώματα. τῆς τοίνυν ῥινὸς ἐχούσης μέσον διάφραγμα καὶ πόρους ἀξιολόγους δύο, τούτους δὴ τοὺς φαινομένους, ἕνα καθ’ ἕτερον μυκτῆρα, χρὴ γιγνώσκειν ἀνωτέρω τῶν μερῶν τῆς ῥινὸς ἑκάτερόν τε αὐτῶν δεξιόν τε καὶ εὐώνυμον δίχα σχιζόμενον. ἥκει δὲ τῶν μερῶν τὸ ἕτερον εἰς τὸ τοῦ στόματος ἔνδον κατὰ τὴν ὑπερῴαν, τὸ δὲ ἕτερον ὄρθιον, ὡς ἐξ ἀρχῆς ἐφέρετο, πρὸς αὐτὸν ἀναβαίνει τὸν ἐγκέφαλον. εἰσὶ δὲ τῷ ἐγκεφάλῳ δύο ἀποφύσεις προμήκεις καὶ κοῖλαι, τὴν ἀρχὴν μὲν ἐκ τῶν ἐμπροσθίων ἔχουσαι κοιλιῶν, καθήκουσαι δὲ κατ’ ἐκεῖνο τοῦ κρανίου τὸ μέρος, ὅθεν ἡ ῥὶς ἔχει τὴν ἀρχήν. κατὰ δὲ τοῦτο τὸ μέρος καὶ ἡ τῶν ἠθμοειδῶν ὀστῶν ἐστι θέσις, δι’ ὧν εἰσπνοή τε καὶ ἐκπνοὴ κατὰ τὸν ἐγκέφαλον γίγνεται, ἐκκαθαίρεται δὲ τὰ ἐν αὐτῷ περιττώματα. καὶ ἡ παχεῖα δὲ μῆνιγξ, καθ’ ὃ ψαύει τῶν ἠθμοειδῶν ὀστῶν, ὀπαῖς λεπταῖς τέτρηται. διὰ ταύτης γέ τοι πρώτης διηθεῖται τὰ παχύτερα τοῦ ἐγκεφάλου περιττώματα, ἅτινα βλένναν καὶ μύξαν καλοῦμεν, καὶ ταῦτα καταντιφερόμενα πρώτην μὲν αὐτὴν τὴν μήνιγγα διεξέρχεται, μετ’ ἐκείνην δὲ διὰ τῶν ἠθμοειδῶν ὀστῶν ἠθούμενα, κἄπειθ’ οὕτως ἐμπίπτοντα τοῖς πόροις τῆς ῥινός. ἐν δὲ τῇ διὰ τῶν πόρων τούτων πορείᾳ ἔστιν ὅτε μέρος τι τῶν καταφερομένων παραρρεῖ εἰς τὸ στόμα διὰ τῶν εἰρημένων ἐκ τῆς ῥινὸς εἰς τὴν ὑπερῴαν συντρήσεων καὶ μάλισθ’ ὅταν ὦσιν αἱ βλένναι γλίσχραι τε καὶ παχεῖαι. τὸ δὲ ὑπόλοιπον καταφερόμενον ἐκκενοῦται διὰ τῶν μυκτήρων. συνεργοῦμεν δὲ ταῖς διὰ τοῦ στόματος ἐκ τῆς ὑπερῴας ἐκκρίσεσιν. ἀναχρέμψει, τῇ δὲ ἐκ τῆς ῥινὸς ἐκκρίσει βιαιοτέρᾳ ἐκφυσήσει χρώμενοι καὶ πταρμοῖς. ἀναπνοῆς μὲν οὖν ἕνεκα καὶ ὀσφρήσεως γεγόνασιν αἱ εἰς τὰς ῥῖνας τοῦ ἐγκεφάλου συντρήσεις. χρῆται δὲ αὐταῖς ἡ φύσις εἰς τὴν τῶν περιττωμάτων τοῦ ἐγκεφάλου κάθαρσιν· καὶ τοίνυν καὶ ἡ τῆς ὀσφρήσεως βλάβη οὐ τῶν κατὰ τὴν ῥῖνα πόρων ἐστίν, ἀλλὰ ἤτοι τῶν ἐμπροσθίων κοιλιῶν τοῦ ἐγκεφάλου εἰς δυσκρασίαν ἀγομένων ἢ τῶν ἐν τοῖς ἠθμοειδέσι πόρων ἐμφραττομένων, κορύζης καὶ κατάρρου ὡς ἐπὶ τὸ πολὺ προηγησαμένων ἢ ψυχομένων τούτων τῶν μερῶν ἢ ὑγραινομένων. καὶ γὰρ καὶ ὁ κατὰ τὰς εἰσπνοὰς ἑλκόμενος ἀὴρ ἄντικρυς τάς τε ῥῖνας αὐτὰς ἐνίοτε ψύχει, τά τε συνεχῆ αὐταῖς πάντα, καὶ μάλιστα ψυχροτέρου γενομένου τοῦ περιέχοντος ἡμᾶς ἀέρος. Πρῶτον μὲν οὖν προσήκει τοὺς τὴν ὀσφρητικὴν δύναμιν βλαβέντας ἤ τινα τῶν μυξωτήρων ἐμπεφραγμένον ἔχοντας ἐν ξηροτέροις τόποις τὴν διατριβὴν ποιεῖσθαι, οἷόν εἰσιν οἱ παραθαλάττιοι, μάλιστα γυμνασίοις τε πρὸς δύναμιν καὶ ἀλείμμασι χρῆσθαι καθ’ ἑκάστην ἡμέραν, ὄρθιον ἐχόντων τὸν τράχηλον καὶ δι’ ἑτέρων ἀνατριβομένων, κτενίζειν τε τὴν κεφαλὴν καὶ σμήχειν νίτρῳ ἐν βαλανείῳ καὶ θαλάσσῃ θερμῇ ἀποπλύνειν καὶ καταντλᾶν τὴν κεφαλὴν καὶ ἐπιχέειν τὴν θάλασσαν θερμήν, ἔπειτα καὶ τῷ ψυχρῷ ὕδατι ἐξελθόντας ἐμβάπτειν πρὸς ὀλίγον. ἄριστον δὲ καὶ τῇ θαλάσσῃ αὐτῇ νήχεσθαι συνεχῶς μάλιστα τοὺς εἰθικότας, ἀποφλεγματισμοῖς τε συνεχῶς χρῆσθαι καὶ ἐρρίνοις. [45]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

96 (50) τὰ δ’ ἐν τροφῇ διδόμενα πάντα τῆς λεπτυνούσης ἔστω δυνάμεως, ὅθεν καὶ δριμυφαγία ἐκ διαλειμμάτων δοκιμαζέσθω. οἶκος δὲ ἐν ᾧ διάγουσι, συμμέτρως ἔστω θερμὸς πρὸς τὴν ὥραν τοῦ ἔτους. ὕπνος δὲ ἡμερινὸς ἀνοίκειος τούτοις· ὑπνοῦντες δὲ μετέωρα ἐχέτωσαν τὰ προσκεφάλαια καὶ ἐπὶ πλευρὰν κατακλινέσθωσαν καὶ μὴ κατὰ τὸ πεπονθὸς μέρος, οἷον εἰ τύχοι ἕνα τῶν μυξωτήρων ἐμπεφρᾶχθαι. ἡ μὲν οὖν καθημερινὴ δίαιτα τοιαύτη ἔστω. σαφοῦς δὲ ἐνστάντος ἀέρος τινάξαι τὴν κοιλίαν πρῶτον πειράσθητι τῇ διὰ τῆς κολοκυνθίδος Ἀρχιγένους ἱερᾷ, ἔπειτα βδέλλας προσάγειν τῷ ὑψηλοτέρῳ μέρει τῆς ῥινὸς καὶ συγχωρεῖν αἷμα ἱκανὸν ἑλκυσθῆναι. μετὰ δὲ τὴν τρίτην ἡμέραν σπληνίῳ ἀπὸ τοῦ μεσοφρύου ἄχρι τοῦ μήλου κατειλήφθω τοῦτο τῆς ῥινὸς τὸ ἐμπεφραγμένον μέρος τῶν διαφορεῖν ἐπαγγελλομένων ἐμπλάστρων, οἷά ἐστιν ἡ Σαραπίωνος μηλίνη καὶ ἡ Ἱκεσίου καὶ ἡ Ἀρχιγένους μέλαινα καὶ ἡ διὰ τιθυμάλλου ὀποῦ σκευαζομένη καὶ ἡ διὰ σκίλλης καὶ αἱ παραπλήσιοι. γιγνέσθω δὲ ἡ χρῆσις τούτων μὴ ἔλαττον ἡμερῶν ιε · μετὰ δὲ ταῦτα τῇ διὰ τῆς ἀλόης πικρᾷ ὑπαγέσθω συνεχῶς ἡ κοιλία. ὠφέλιμος γὰρ αὐτῆς ἡ συνεχεστέρα χρῆσις γένοιτο. ἔπειτα ἀποφλεγματισμῷ χρηστέον διὰ σταφίδος ἀγρίας καὶ μαστίχης. ἱκανῆς δὲ καὶ διὰ τοῦ στόματος γιγνομένης κενώσεως τῇ διὰ τοῦ ἀγαρικοῦ ἐμπλάστρῳ ἢ τῷ διὰ κάχρυος καὶ τῷ διὰ δαφνίδων μαλάγματι ἤ τινι τῶν παραπλησίων μαλαγμάτων περιβλητέον τὴν ῥῖνα καὶ τὸ μέτωπον ἄχρι φοινίξεως τῆς ἐπιφανείας· εἴωθε γὰρ τὰ τοιαῦτα μυξώδη ὑγρασίαν διὰ τῆς ἐπιφανείας ἐπισπᾶσθαι. μετὰ δὲ ταῦτα πταρμικῷ χρηστέον, πρῶτον μὲν ἁπλουστέρῳ, ἔπειτα δὲ καὶ δραστικωτέρῳ, οἷός ἐστι λευκὸς ἐλλέβορος λειότατος. τρίτη δὲ ἢ τετάρτη ἀπὸ τοῦ πταρμικοῦ διαγενομένη ἡμέρα, ξυρήσαντας τὴν κεφαλὴν σιναπιστέον ἕως τοῦ μετώπου, εἶτα λουστέον καὶ μεθ’ ἱκανὰς πάλιν ἡμέρας, εἰ δέοι, διὰ ῥινεγχύτου καθαρτέον τὴν κεφαλήν. ἔστω δὲ δραστικὸν τὸ προσαγόμενον, οἷόν ἐστι τὸ ἐλατήριον μετὰ γάλακτος ἢ χυλὸς κυκλαμίνου ἢ αὐτὴν τὴν κυκλάμινον ξηρὰν λείαν ἐμφύσας ἢ τὴν τοῦ ἀγρίου σικύου ῥίζαν· καὶ τὸ μελάνθιον δὲ κόψας σήσας λεπτότατον, ἔπειτα σὺν ἐλαίῳ παλαιοτάτῳ λεάνας πάλιν ἐπιμελῶς, διδοὺς δὲ τῷ πάσχοντι ὕδωρ ἐν τῷ στόματι διακατέχειν, ἔγχει διὰ τῶν μυκτήρων, κελεύειν ἕλκειν τὸ φάρμακον σφοδρότερον διὰ τῆς ἀναπνοῆς. τούτῳ ἐχρησάμην ἐπί τινος νεανίσκου ἐκ κορύζης τε καὶ κατάρρου πολυχρονίου βλαβέντος τὴν ὀσφρητικὴν αἴσθησιν, ἐφεξῆς δὲ τριῶν ἡμερῶν ὁ νεανίσκος τῷ βοηθήματι χρησάμενος μεγάλως ὤνητο· τῇ δὲ τετάρτῃ ἑλκύσας τὸ φάρμακον σφοδρότερον διὰ τῆς εἰσπνοῆς δήξεως ἰσχυρᾶς ᾔσθετο ἐν τῷ βάθει τῆς κεφαλῆς καὶ ταύτης κατὰ βραχὺ μειουμένης παντάπασιν ἐπαύσατο κατὰ τὴν ὑστεραίαν. ὠφελίμως δὲ τὸ μελάνθιον παραλαμβάνεται καὶ μετ’ ὄξους· προσήκει δὲ μετὰ τὴν τούτων χρῆσιν, ὡς μεθ’ ἡμέρας τρεῖς, σιναπίζειν τὸ μέτωπον καὶ τὴν ῥῖνα καὶ λούειν. καὶ ὀσφραντὰ δὲ προσαγέσθω συνεχῶς, εὐώδη μὲν ταῦτα· νάρκισσος σισύμβριον ἑρπύλλιον κρίνων φύλλα καὶ ἴου ἡδύοσμον πόλιον πήγανον ἄγριον καὶ μάλιστα θύμβρα. πάντων δὲ λυσιτελέστατον καστόριον ἐν ὄξει διειμένον καὶ ποτισθὲν δὲ τὸ καστόριον ὅσον κοχλιάριον λεῖον μετὰ ὑδρομέλιτος κυάθων τριῶν ἀντὶ πολλῶν ἔσται βοηθημάτων· δραστικώτερον δὲ γίγνεται τοῦ σκιλλιτικοῦ ὄξους ἥμισυ κυάθου προσλαβών· τὸ δὲ σκίλλινον ὄξος καὶ καθ’ ἑκάστην ἡμέραν λαμβανόμενον νῆστις, ὅσον κοχλιάρια γ , ὠφελιμώτατον αὐτοῖς γίγνεται.

96 (100) μετὰ δὲ τούτους πάντας τοὺς σπαραγμούς, εἰ ἔτι τινὸς δέοι ἡ διάθεσις, παραληπτέος καὶ ὁ ἀπὸ ῥαφανίδων ἔμετος, ὀξυμέλιτι βρεχομένων αὐτῶν τετμημένων ἢ γάρῳ· τῇ δὲ ἑξῆς μετὰ τὸν ἀπὸ τῶν ῥαφανίδων ἔμετον ἀψινθίου ἀφέψημα πινέτω ἢ γλήχωνος καὶ μετὰ τοῦτο καὶ ἐπιθετέον τῇ ῥινὶ τὴν διὰ σκίλλης ἔμπλαστρον, ἧς καὶ πεπείραμαι, καὶ καταλιπεῖν χρόνον τινά, ὡς ἰόνθους ἐπεγείρειν τῷ τόπῳ καὶ γλινώδη ὑγρασίαν ἐξέλκειν. ἀναγέγραπται καὶ αὐτὴ ἐν τῷ περὶ ἐμπλάστρων λόγῳ. ταῦτα πάντα καὶ δὶς καὶ τρὶς καὶ πλεονάκις παραληπτέον πρὸς τὰς ἀπειθεστέρας διαθέσεις. Περὶ πταρμικῶν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

97 πταρμὸς δὲ γίγνεται διαθερμαινομένου τοῦ ἐγκεφάλου ἢ ψυχομένου τοῦ κενοῦ τοῦ ἐν τῇ κεφαλῇ. ψόφος δὲ γίγνεται, ὅτι διὰ κενοῦ καὶ στενοῦ ἡ διέξοδος τῷ πνεύματι γίνεται. ἐπισκεψώμεθα δὲ ἐφεξῆς ὅπως οἱ πταρμοὶ τὰ τῆς κεφαλῆς ἰῶνται βάρη. γίγνονται μὲν οὖν οἱ πταρμοὶ ἐπὶ προηγησαμέναις μεγίσταις εἰσπνοαῖς ἐκφυσήσεως τάχιστα ἑπομένης· ὀνομάζω δὲ ἐκφύσησιν τὴν ἀθρόαν ἐκπνοήν. ἔχει γὰρ ὁ ἐγκέφαλος δύο ταύτας δυνάμεις, ὧν τῇ μὲν ἑτέρᾳ χρώμενος τὰ κατὰ τὰς ἐμπροσθίους κοιλίας ἐκκρίνει περιττὰ συντεινόμενος ἀμφ’ αὐτά, τῇ δὲ ἑτέρᾳ, καθ’ ἣν διαστέλλει τὰ κατὰ τὰς ῥῖνας πτερύγια καὶ ἕλκει τὸ πνεῦμα. ὅταν τοίνυν ὑπὸ πνεύματος βαρύνηται, τότε τοῦτο ἐκκρίνει συστελλόμενος, εἰ δέ ποτε ἐμπεφραγμένων τῶν κατὰ τοὺς μυκτῆρας ὁδῶν κωλύεται ἐκκρῖναι τὸ βαρύνον πνεῦμα ἢ βλένναν, ἐπὶ τὸν πταρμὸν τηνικαῦτα ὁρμᾷ βιαίᾳ κινήσει διώσασθαι σπεύδων τὰ ἐμφράττοντα τοὺς πόρους, ὅθεν ἰῶνται οἱ πταρμοί, ὡς προείρηται, τὰ τῆς κεφαλῆς βάρη καὶ μὲν δὴ καὶ πάθη τινὰ τῶν κατὰ τὸν ἐγκέφαλον συνισταμένων, οἷα μάλιστά ἐστι τὰ ληθαργικὰ καὶ καρώδη καὶ τὰ παραπλήσια· διὰ τῶν πταρμικῶν γὰρ τὰ τοιαῦτα μάλιστα θεραπεύεται φαρμάκων. καὶ πρὸς τὸν ἥλιον δὲ ἀποβλέποντες ἐρεθιζόμεθα πρὸς πταρμόν, ὡς ἂν οἶμαι χεομένων ὑπὸ τῆς θερμασίας τῶν παχυτέρων κατὰ τὸν ἐγκέφαλον πνευμάτων. καταρρήσσουσι δὲ οἱ πταρμοὶ καὶ βλέννας ἐξ ἐγκεφάλου παχείας καὶ γλίσχρας, τῷ σφοδρῷ τῆς τοῦ πνεύματος ἔξω φορᾶς καὶ ταύτας συνεκβάλλοντες. πταρμὸν δὲ κινεῖ ἐλλέβορος λευκὸς στρούθιον πέπερι καστόριον κυκλάμινον εὐφόρβιον νίτρον ἡ πταρμικὴ πόα κύμινον, ἕκαστον ἰδίᾳ καὶ ἅμα λειότατα γινόμενα καὶ προσαγόμενα. οὐ χρὴ δὲ ἐμφυσᾶν, ἀλλὰ τὴν πυξίδα ἀνακινήσαντα προσάγειν τῇ ὀσφρήσει ἢ πυρῆνα μήλης ἐντιθέναι ἐσωτάτω τῆς ῥινός. ἁπλᾶ μὲν οὖν ταῦτα, ἔστι δὲ καὶ σύνθετα ἐξ αὐτῶν συγκείμενα, οἷόν ἐστι τοῦτο Ἡρακλείδου Ταραντίνου πταρμικόν. κυμίνου Αἰθιοπικοῦ πεπέρεως στρουθίου καστορίου, ἑκάστου ἴσον κόψας σήσας ἀπόθου εἰς πυξίδα χαλκῆν, ἐν δὲ τῇ χρήσει σαλεύων τὴν πυξίδα καὶ ἀναπωμάσας πρόσφερε τῇ ῥινὶ ἢ διὰ μήλης ἐντίθει ἐσωτάτω τῆς ῥινός. Ἄλλο. πεπέρεως ἐλλεβόρου λευκοῦ στρουθίου εὐφορβίου καστορίου κυκλαμίνου χυλοῦ ξηροῦ ἴσα, χρῶ, καθὼς προείρηται. Ἄλλο ποιεῖ κεχρονισμέναις κεφαλαλγίαις σκοτωματικοῖς ἐπιληπτικοῖς κεφαλὴν βαρυνομένοις. ἐλλεβόρου λευκοῦ < δ νίτρου στρουθίου νίτρου ἐρυθροῦ καστορίου πεπέρεως ἀνὰ < α , χρῶ καθὼς προείρηται. Πλεονάζοντας πταρμοὺς παῦσαι. [35]

98 πλεονάζοντας δὲ πταρμοὺς παύει ἅτινα καὶ τὴν κόρυζαν ἰᾶται· ἔλαιον ῥόδινον ἐγχεόμενον τοῖς μυκτῆρσι καὶ γλυκὺ ἔλαιον καὶ τὸ νάρδινον μύρον. ὀσφραινόμενα δὲ παύει πταρμόν· ἄνισον ὠκίμου κάρφη ξηρὰ κοπέντα μελάνθιον λεῖον ξηρὸν ἢ θύμον ζύμῃ φυράσας καὶ εἰς τέφραν ἐγκρύψας, ὅταν ὀπτηθῇ, λειώσας χρῶ. ἕκαστον δὲ ὀθονίῳ ἀραιῷ ἐνδήσας δίδου ὀσφραίνεσθαι. παύει δὲ πταρμοὺς καὶ κόρυζαν καὶ σμύρνα καθ’ ἑαυτὴν καὶ μετὰ λιβάνου σὺν οἴνῳ εὐώδει λειωθεῖσα διαχριομένων τῶν μυκτήρων. ποιεῖ καὶ τὸ ἡδύοσμον καὶ τὸ ἡδύχροον ὀσφραινόμενον καὶ τὸ κῦφι καὶ ὕδωρ δὲ χλιαρὸν προσαντλώμενον τῷ προσώπῳ παύει πταρμούς. καὶ τὰς ἑκατέρωθεν δὲ τῆς ῥινὸς πρὸς τοὺς μεγάλους κανθοὺς κειμένας φλέβας ἀποπιέζων τοῖς δακτύλοις κωλύσεις τὸν πταρμόν. Ἀπολλώνιος δὲ φυσικὸν γράφει πρὸς τὸ μὴ πτάρνυσθαι τὰ παιδία, “πελαργοῦ”, φησί, “πτερὰ ἔχειν δεῖ ἐν οἰκίᾳ καὶ ἀδύνατον πτάρνυσθαι”. Τέλος τοῦ ἕκτου λόγου. [15]

Eulogikon public reading copy · View original HTML at eulogikon.org